γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη;
writes not having-persuaded violence rather than law — would-be
Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη, καὶ 46
Very you-know to-have-said — Pericles O Alcibiades also
ἡμεῖς τηλικοῦτοι ὄντες δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα
we at-that-age being clever — at-such-things were such-things
γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα οἷάπερ καὶ σὺ νῦν
for also we-practiced and we-sophisticated such-as-very also you now
ἐμοὶ δοκεῖς μελετᾶν. τὸν δὲ Ἀλκιβιάδην φάναι· Εἴθε
to-me seem to-practice — and Alcibiades to-have-said Would-that

σοι, ὦ Περίκλεις, τότε συνεγενόμην ὅτε δεινότατος
with-you O Pericles then I-had-been-with(-you) when cleverest
ἑαυτοῦ [ταῦτα] ἦσθα.
than-yourself at-these-things you-were

47 Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον
When then quickest of-the politicians they-supposed
κρείττονες εἶναι, Σωκράτει μὲν οὐκέτι προσῇσαν· οὔτε
superior to-be to-Socrates indeed no-longer did-they-come neither
γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν, εἴ τε προσέλθοιεν, ὑπὲρ ὧν
for to-them otherwise was-be-pleasing if both they-came for what
ἡμάρτανον ἐλεγχόμενοι ἤχθοντο· τὰ δὲ τῆς πόλεως
they-erred being-refuted they-were-vexed the-things and of-the city
ἔπραττον, ὥνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον.
they-did of-which-very for-the-sake also to-Socrates they-had-come

48 ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητὴς καὶ Χαιρεφῶν
but Crito both of-Socrates was an-associate and Chaerephon
καὶ Χαιρεκράτης καὶ Ἑρμογένης καὶ Σιμμίας καὶ Κέβης
and Chaerecrates and Hermogenes and Simmias and Cebes
καὶ Φαιδώνδας καὶ ἄλλοι, οἳ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα
and Phaedondas and others who with-that-one associated not so-that
δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ᾽ ἵνα καλοί τε
public-speakers or court-pleaders they-might-become but so-that fine both
κἀγαθοὶ γενόμενοι καὶ οἴκῳ καὶ οἰκέταις καὶ οἰκείοις καὶ
and-good having-become both household and servants and kin and
φίλοις καὶ πόλει καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι.
friends and city and citizens they-might-be-able well to-use
καὶ τούτων οὐδεὶς οὔτε νεώτερος οὔτε πρεσβύτερος ὢν
and of-these no-one either younger or older being
οὔτ᾽ ἐποίησε κακὸν οὐδὲν οὔτ᾽ αἰτίαν ἔσχεν.
either did evil anything or blame incurred

Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας 49
But Socrates at-least said the accuser the fathers
προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας
to-treat-with-contempt taught persuading indeed the associating
ἑαυτῷ σοφωτέρους ποιεῖν τῶν πατέρων, φάσκων
with-himself wiser to-make than-the fathers saying
δὲ κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ
and according-to law to-be-permitted of-madness having-convicted even
τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ χρώμενος, ὡς τὸν
the father to-bind with-proof this using that the
ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι.
more-ignorant by the wiser lawful it-is to-be-bound
Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως 50
Socrates but the indeed of-ignorance for-the-sake binding justly
ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων ἃ
— also himself thought to-be-bound by the knowing what
μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις
not himself knows and — of-such for-the-sake often
ἐσκόπει, τί διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν
he-examined what differs from-madness ignorance and the indeed
μαινομένους ᾤετο συμφερόντως ἂν δεδέσθαι καὶ ἑαυτοῖς
mad he-thought advantageously — to-be-bound both for-themselves
καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα
and for-the friends the but not knowing the needful-things
δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων.
justly — to-learn from the knowing
ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς 51
but Socrates at-least said the accuser not only the
πατέρας ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ
fathers but also the other kinsmen he-made in dishonor
εἶναι παρὰ τοῖς ἑαυτῷ συνοῦσι, λέγων ὡς οὔτε τοὺς
to-be among the with-himself associating saying that neither the

κάμνοντας οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν,
sick nor the litigating the kinsmen benefit
ἀλλὰ τοὺς μὲν οἱ ἰατροί, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.
but the indeed the doctors the but the to-plead-together knowing
52 ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν ὡς οὐδὲν ὄφελος
he-said and also about the friends him to-say that no benefit
εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· μόνους δὲ
well-disposed to-be if not also to-benefit they-will-be-able only and
φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα
to-say him worthy to-be of-honor the knowing the needful-things
καὶ ἑρμηνεῦσαι δυναμένους· ἀναπείθοντα οὖν τοὺς νέους
and to-explain able persuading then the young
αὐτὸν ὡς αὐτὸς εἴη σοφώτατός τε καὶ ἄλλους ἱκανώτατος
him that he-himself was wisest both and others most-able
ποιῆσαι σοφούς, οὕτω διατιθέναι τοὺς ἑαυτῷ συνόντας ὥστε
to-make wise so to-dispose the with-himself associating so-that
μηδαμοῦ παρ᾽ αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.
nowhere with them the others to-be compared-with himself
53 ἐγὼ δ᾽ αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε καὶ τῶν
I but him know indeed also about fathers both and the
ἄλλων συγγενῶν [τε] καὶ περὶ φίλων ταῦτα λέγοντα·
other kinsmen both and about friends these-things saying
καὶ πρὸς τούτοις γε δὴ ὅτι τῆς ψυχῆς ἐξελθούσης,
and in-addition-to these at-least indeed that the soul having-gone-out
ἐν ᾗ μόνῃ γίγνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου
in which alone comes-to-be prudence the body of-the dearest
ἀνθρώπου τὴν ταχίστην ἐξενεγκόντες ἀφανίζουσιν.
man the quickest having-carried-out they-make-disappear
54 ἔλεγε δ᾽, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ, ὃν πάντων
he-said and that also living each himself which of-all
μάλιστα φιλεῖ, τοῦ σώματος ὅ τι ἂν ἀχρεῖον ᾖ καὶ
most loves of-the body what ever — useless be and

ἀνωφελές, αὐτός τε ἀφαιρεῖ καὶ ἄλλῳ παρέχει. αὐτοί τέ
unprofitable himself both removes and to-another hands-over themselves both
γε αὑτῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους ἀφαιροῦσι
at-least their-own nails both and hair and calluses remove
καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων
and to-the doctors hand-over with pains both and agonies
καὶ ἀποτέμνειν καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται
both to-cut-off and to-cauterize and for-this for-the-sake think
δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸ σίαλον ἐκ τοῦ
to-be-needful to-them also a-fee to-pay and the spittle from the
στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι
mouth spit-out as they-are-able farthest because
ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνόν, βλάπτει δὲ πολὺ μᾶλλον.
it-benefits indeed nothing them being-in it-harms but much rather
ταῦτ' οὖν ἔλεγεν οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν 55
these-things then he-said not the indeed father living to-bury
διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν, ἀλλ' ἐπιδεικνύων, ὅτι
teaching himself but to-cut-up but showing that
τὸ ἄφρον ἄτιμόν ἐστι, παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς
the senseless dishonorable is he-urged to-take-care-of the as
φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως, ἐάν τε
most-prudent to-be and most-beneficial so-that whether —
ὑπὸ πατρὸς ἐάν τε ὑπὸ ἀδελφοῦ ἐάν τε ὑπ' ἄλλου
by father or — by brother or — by other
τινὸς βούληται τιμᾶσθαι, μὴ τῷ οἰκεῖος εἶναι πιστεύων
someone he-wishes to-be-honored not on-the kin to-be trusting
ἀμελῇ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούληται τιμᾶσθαι,
he-may-neglect(-it) but tries by whom — he-wishes to-be-honored
τούτοις ὠφέλιμος εἶναι.
to-these beneficial to-be

56 Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν
Said and him the accuser also of-the most-famous poets
ἐκλεγόμενον τὰ πονηρότατα καὶ τούτοις μαρτυρίοις
selecting the most-wicked-things and these as-evidence
χρώμενον διδάσκειν τοὺς συνόντας κακούργους τε εἶναι
using to-teach the associates mischief-makers both to-be
καὶ τυραννικούς, Ἡσιόδου μὲν τὸ
and tyrannical of-Hesiod indeed the

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος·
Work but no reproach idleness but — reproach

τοῦτο δὴ λέγειν αὐτὸν ὡς ὁ ποιητὴς κελεύει μηδενὸς
this indeed to-say him that the poet bids from-no
ἔργου μήτ' ἀδίκου μήτ' αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ
work either unjust or shameful to-abstain but even
ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.
these-things to-do for the gain

57 Σωκράτης δ' ἐπεὶ διομολογήσαιτο τὸ μὲν ἐργάτην εἶναι
Socrates but when he-had-agreed the indeed a-worker to-be
ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν
beneficial both to-a-man and good to-be the but idle
βλαβερόν τε καὶ κακόν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθόν,
harmful both and bad and the indeed to-work good
τὸ δ' ἀργεῖν κακόν, τοὺς μὲν ἀγαθόν τι ποιοῦντας
the but to-be-idle bad the indeed good something doing
ἐργάζεσθαί τε ἔφη καὶ ἐργάτας [ἀγαθοὺς] εἶναι, τοὺς δὲ
to-work both he-said and workers good to-be the but

κυβεύοντας ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας
dicing or some other wicked and ruinous doing
ἀργοὺς ἀπεκάλει. ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ
idle he-called from and these rightly — would-be the

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
Work but no reproach idleness but — reproach

τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν, 58
the and of-Homer said the accuser often him to-say
ὅτι Ὀδυσσεὺς
that Odysseus

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Whatever indeed king and eminent man he-would-find
τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
him — with-gentle words he-would-restrain standing-by
δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
good-sir not you it-befits a-coward like to-be-frightened
ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
but yourself both sit and others make-sit people
ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι,
whom but in-turn of-the-people — man he-would-see shouting — he-would-find
τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ·
him with-the-staff he-would-strike he-would-rebuke and with-word
δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
good-sir quietly sit and of-others the-word hear
οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
who than-you better are you but unwarlike and weak
οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ.
neither ever in war counted nor in council

ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς ἐπαινοίη
these-things indeed him to-expound as the poet praised
παίεσθαι τοὺς δημότας καὶ πένητας.
to-be-beaten the commoners and poor

59 Σωκράτης δ' οὐ ταῦτ' ἔλεγε· καὶ γὰρ ἑαυτὸν οὕτω
Socrates but not these-things said and for himself so
γ' ἂν ᾤετο δεῖν παίεσθαι· ἀλλ' ἔφη δεῖν
at-least — he-would-think it-needful to-be-beaten but he-said to-be-needful
τοὺς μήτε λόγῳ μήτ' ἔργῳ ὠφελίμους, ὄντας μήτε
the neither by-word nor by-deed beneficial being neither
στρατεύματι μήτε πόλει μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι
to-army nor to-city nor itself to-the people if something
δέοι, βοηθεῖν ἱκανούς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ
were-needed to-help able especially — if in-addition-to this
καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ
also insolent they-be in-every way to-be-restrained even-if very
πλούσιοι τυγχάνωσιν ὄντες.
rich they-happen being

60 ἀλλὰ Σωκράτης γε τἀναντία τούτων φανερὸς ἦν καὶ
but Socrates at-least the-opposite of-these evident was also
δημοτικὸς καὶ φιλάνθρωπος ὤν. ἐκεῖνος γὰρ πολλοὺς
popular and philanthropic being that-one for many
ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβὼν οὐδένα πώποτε
admirers both citizens and strangers having-got no ever
μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως
fee for-the company exacted but to-all ungrudgingly
ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη παρ' ἐκείνου
he-gave-help — from-his-own of-which some small parts from that-one
προῖκα λαβόντες πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ
free having-received for-much to-the others sold and not

ἦσαν ὥσπερ ἐκεῖνος δημοτικοί· τοῖς γὰρ μὴ ἔχουσι
were like that-one popular for-the for not having
χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι.
money to-give not they-were-willing to-converse
ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους 61
but Socrates at-least also toward the other men
κόσμον τῇ πόλει παρεῖχε, πολλῷ μᾶλλον ἢ Λίχας τῇ
credit to-the city provided much more than Lichas to-the
Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν
of-Lacedaemonians who famous for this has-become Lichas indeed
γὰρ ταῖς γυμνοπαιδίαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι
for at-the Gymnopaediae the visiting in Lacedaemon
ξένους ἐδείπνιζε, Σωκράτης δὲ διὰ παντὸς τοῦ βίου τὰ
strangers entertained Socrates but through all the life —
ἑαυτοῦ δαπανῶν τὰ μέγιστα πάντας τοὺς βουλομένους
his-own spending the greatest-things all the wishing
ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν.
benefited better for making the associating he-sent-away
Ἐμοὶ μὲν δὴ Σωκράτης τοιοῦτος ὢν ἐδόκει τιμῆς ἄξιος 62
To-me indeed truly Socrates such being seemed of-honor worthy
εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου. καὶ κατὰ τοὺς
to-be for-the city rather than of-death and according-to the
νόμους δὲ σκοπῶν ἄν τις τοῦθ' εὕροι. κατὰ γὰρ τοὺς
laws but examining — someone this would-find according-to for the
νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων ἢ λωποδυτῶν
laws if someone manifest becomes stealing or stripping-clothes
ἢ βαλλαντιοτομῶν ἢ τοιχωρυχῶν ἢ ἀνδραποδιζόμενος
or cutting-purses or housebreaking or kidnapping
ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν
or robbing-temples for-these death is the penalty from-which
ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.
that-one of-all men farthest abstained

63 ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος
but surely to-the city at-least neither of-war badly having-gone
οὔτε στάσεως οὔτε προδοσίας οὔτε ἄλλου κακοῦ οὐδενὸς
nor of-faction nor of-treason nor of-other evil any
πώποτε αἴτιος ἐγένετο· οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε
ever the-cause was not-even surely privately at-least anyone ever
ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν οὔτε κακοῖς περιέβαλεν,
of-men either of-goods deprived or into-evils cast
ἀλλ᾽ οὐδ᾽ αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ᾽ ἔσχε.]
but not-even blame of-the said-things any ever had
64 πῶς οὖν ἂν ἔνοχος εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν
how then — liable would-he-be to-the indictment who instead-of indeed
τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο,
the not to-believe-in gods as in the indictment it-had-been-written
φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα πάντων
evident was serving the gods most of-all
ἀνθρώπων, ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ
men instead-of and the to-corrupt the young which indeed
ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο, φανερὸς ἦν τῶν συνόντων
the indicting him charged evident he-was of-the associates
τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας τούτων μὲν παύων, τῆς
the wicked desires having these indeed stopping to-the
δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις
and finest and most-magnificent virtue by-which cities
τε καὶ οἶκοι εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα
both and households well are-managed urging to-desire these-things
δὲ πράττων πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;
and doing how not of-great worthy was-he honor for-the city

Socrates honored the gods as the Pythia bids, by the city's custom, prayed simply for good things, and offered small sacrifices from small means. He followed his signs over men's opinion. His diet was frugal, and he ate only from hunger and drank only from thirst. He warned against kissing a beauty: when Critobulus kissed Alcibiades' son, he told Xenophon such a kiss is worse than a spider's bite and advised Critobulus to go abroad for a year.

Ὡς δὲ δὴ καὶ ὠφελεῖν ἐδόκει μοι τοὺς συνόντας 1
How and indeed also to-benefit he-seemed to-me the associates
τὰ μὲν ἔργῳ δεικνύων ἑαυτὸν οἷος ἦν, τὰ δὲ
partly indeed by-deed showing himself what-sort he-was partly and
καὶ διαλεγόμενος, τούτων δὴ γράψω ὁπόσα ἂν
also conversing of-these indeed I-shall-write as-many-as —
διαμνημονεύσω. τὰ μὲν τοίνυν πρὸς τοὺς θεοὺς
I-recall the-things indeed then toward the gods
φανερὸς ἦν καὶ ποιῶν καὶ λέγων ᾗπερ ἡ Πυθία
evident he-was both doing and saying in-the-way-that the Pythia
ἀποκρίνεται τοῖς ἐρωτῶσι πῶς δεῖ ποιεῖν ἢ περὶ
answers to-those asking how it-is-needful to-do either about
θυσίας ἢ περὶ προγόνων θεραπείας ἢ περὶ ἄλλου τινὸς
sacrifice or about of-ancestors service or about other some-matter
τῶν τοιούτων· ἥ τε γὰρ Πυθία νόμῳ πόλεως ἀναιρεῖ
— of-such-things the both for Pythia by-the-law of-the-city answers
ποιοῦντας εὐσεβῶς ἂν ποιεῖν, Σωκράτης τε οὕτω καὶ
doing piously — to-do Socrates both thus also
αὐτὸς ἐποίει καὶ τοῖς ἄλλοις παρῄνει, τοὺς δὲ ἄλλως
himself did and to-the others he-advised those and otherwise
πως ποιοῦντας περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι.
somehow doing meddlesome and foolish he-thought to-be

2 καὶ ηὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι,
and he-prayed also to the gods simply the-good-things to-give
ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας ὁποῖα ἀγαθά ἐστι· τοὺς
as the gods best knowing what-sort good-things are those
δ' εὐχομένους χρυσίον ἢ ἀργύριον ἢ τυραννίδα ἢ ἄλλο
and praying-for gold or silver or tyranny or other
τι τῶν τοιούτων οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι
something — of-such-things nothing different he-thought to-pray
ἢ εἰ κυβείαν ἢ μάχην ἢ ἄλλο τι εὔχοιντο τῶν
than if-for dicing or battle or other something they-prayed of-the
φανερῶς ἀδήλων ὅπως ἀποβήσοιτο.
evidently uncertain how it-would-turn-out

3 θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν οὐδὲν ἡγεῖτο μειοῦσθαι
sacrifices and offering small from small-means nothing he-thought to-fall-short
τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων.
of-those from many and great-means many and great-things sacrificing
οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις
neither for for-the gods he-said well to-be if in-the great
θυσίαις μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρον· πολλάκις γὰρ
sacrifices more than in-the small they-delighted often for
ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ
— for-them the from the wicked more than the from
τῶν χρηστῶν εἶναι κεχαρισμένα· οὔτ' ἂν τοῖς ἀνθρώποις
the good would-be welcome nor — for-the men
ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν
worthy to-be to-live if the-things from the wicked more were
κεχαρισμένα τοῖς θεοῖς ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ'
welcome to-the gods than the-things from the good but

ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς
he-thought the gods in-the from the most-pious honors
μάλιστα χαίρειν. ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου·
most to-delight praiser and he-was also of-the verse this

Καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι,
According-to-ability and to-do sacrifices to-the-immortal gods

καὶ πρὸς φίλους δὲ καὶ ξένους καὶ πρὸς τὴν ἄλλην
and toward friends also and strangers and toward the other
δίαιταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν Καδδύναμιν δ'
way-of-life fine he-said exhortation to-be the According-to-ability and
ἔρδειν.
to-do
εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ τῶν θεῶν, 4
if and something it-seemed to-him to-be-signified from the gods
ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι
less — he-would-have-been-persuaded against the signs to-act
ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλὸν
than if someone him tried-to-persuade of-the-road to-take guide blind
καὶ μὴ εἰδότα τὴν ὁδὸν ἀντὶ βλέποντος καὶ εἰδότος· καὶ
and not knowing the road instead-of one-seeing and knowing and
τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες παρὰ τὰ ὑπὸ
of-the others also folly he-accused who against the-things by
τῶν θεῶν σημαινόμενα ποιοῦσί τι, φυλαττόμενοι τὴν
the gods signified do something guarding-against the
παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν· αὐτὸς δὲ πάντα τἀνθρώπινα
among the men disrepute himself but all-things the-human
ὑπερεώρα πρὸς τὴν παρὰ τῶν θεῶν συμβουλίαν
looked-down-on compared-with the from the gods counsel

5 Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα ᾗ
By-a-regimen and the both soul he-trained and the body by-which
χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαρραλέως
using — anyone if not something divine should-be confidently
καὶ ἀσφαλῶς διάγοι καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης
and safely would-live and not — would-be-at-a-loss for-so-much
δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ᾽ οὐκ οἶδ᾽ εἴ τις
expense so for frugal he-was that not I-know if anyone
οὕτως ἂν ὀλίγα ἐργάζοιτο ὥστε μὴ λαμβάνειν τὰ
so — little could-work as not to-earn the-things
Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο,
for-Socrates sufficing with-food indeed for so-much he-used
ὅσον ἡδέως ἤσθιε, καὶ ἐπὶ τοῦτο οὕτω παρεσκευασμένος
as-much-as with-pleasure he-ate and to this so prepared
ᾔει ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι· ποτὸν
he-went that the desire for-the food relish for-him to-be drink
δὲ πᾶν ἡδὺ ἦν αὐτῷ διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.
and every pleasant was to-him because-of the not to-drink if not he-was-thirsty
6 εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ
if and ever invited he-was-willing to dinner to-go which
τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι
for-the most most-laborious is so-as to-guard-against
τὸ ὑπὲρ τὸν κόρον ἐμπίμπλασθαι, τοῦτο ῥᾳδίως πάνυ
the beyond the fill to-be-stuffed this easily very
ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν
he-guarded-against to-those and not able this to-do
συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας
he-advised to-guard-against the-things persuading not hungry
ἐσθίειν μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα
to-eat nor thirsty to-drink also for the-things ruining
γαστέρας καὶ κεφαλὰς καὶ ψυχὰς ταῦτ᾽ ἔφη εἶναι.
bellies and heads and souls these-things he-said to-be

οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν 7
to-think and he-said joking also — Circe swine to-make
τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ
with-such many feasting — and Odysseus of-Hermes
τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα καὶ ἀποσχόμενον
both through-the-counsel and himself self-controlled being and having-abstained
τοῦ ὑπὲρ τὸν κόρον τῶν τοιούτων ἅπτεσθαι, διὰ
from-the beyond the fill — of-such-things to-touch because-of
ταῦτα οὐ γενέσθαι ὗν.
these-things not to-become a-swine
τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. 8
such-things indeed about these-things he-jested at-the-same-time being-serious
Ἀφροδισίων δὲ παρῄνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι·
from-sexual-pleasures and he-advised from-the beautiful strongly to-abstain
οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον
not for he-said easy to-be — such-things touching
σωφρονεῖν. ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτωνος
to-be-temperate but also Critobulus once the son-of-Crito
πυθόμενος, ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν καλὸν ὄντα,
having-learned that he-kissed the of-Alcibiades son beautiful being
παρόντος τοῦ Κριτοβούλου ἤρετο Ξενοφῶντα·
being-present — Critobulus he-asked Xenophon
Εἰπέ μοι, ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ Κριτόβουλον ἐνόμιζες 9
Tell me he-said O Xenophon not you Critobulus thought
εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν θρασέων
to-be of-the temperate men rather than of-the rash
καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν ἀνοήτων τε καὶ
and of-the prudent rather than of-the thoughtless both and
ῥιψοκινδύνων; Πάνυ μὲν οὖν, ἔφη ὁ Ξενοφῶν. Νῦν τοίνυν
reckless Certainly indeed then said — Xenophon Now then

νόμιζε αὐτὸν θερμουργότατον εἶναι καὶ λεωργότατον·
think him most-hot-headed to-be and most-unscrupulous
οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε κἂν εἰς πῦρ ἅλοιτο.
this-man even into swords would-tumble even into fire would-leap
10 Καὶ τί δή, ἔφη ὁ Ξενοφῶν, ἰδὼν ποιοῦντα τοιαῦτα
And what indeed said — Xenophon having-seen him-doing such-things
κατέγνωκας αὐτοῦ; Οὐ γὰρ οὗτος, ἔφη, ἐτόλμησε τὸν
have-you-condemned of-him Not for this-man he-said dared the
Ἀλκιβιάδου υἱὸν φιλῆσαι, ὄντα εὐπροσωπότατον καὶ
of-Alcibiades son to-kiss being most-fair-faced and
ὡραιότατον; Ἀλλ' εἰ μέντοι, ἔφη ὁ Ξενοφῶν, τοιοῦτόν
most-blooming But if however said — Xenophon such
ἐστι τὸ ῥιψοκίνδυνον ἔργον, κἂν ἐγὼ δοκῶ μοι τὸν
is the reckless deed even I seem to-myself the
κίνδυνον τοῦτον ὑπομεῖναι.
danger this to-undergo
11 Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν
O wretch said — Socrates and what — do-you-think to-suffer
καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν
a-beauty having-kissed then not — at-once very slave indeed
εἶναι ἀντ' ἐλευθέρου, πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς
to-be instead-of free many and to-spend on harmful
ἡδονάς, πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί
pleasures much and lack-of-leisure to-have for-the to-care-for
τινος καλοῦ κἀγαθοῦ, σπουδάζειν δ' ἀναγκασθῆναι ἐφ'
of-anything fine and-good to-be-eager and to-be-compelled for
οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν;
things-which not-even — a-madman would-be-eager
12 Ὦ Ἡράκλεις, ἔφη ὁ Ξενοφῶν, ὡς δεινήν τινα λέγεις
O Heracles said — Xenophon how terrible a-certain you-say
δύναμιν τοῦ φιλήματος εἶναι. Καὶ τοῦτο, ἔφη ὁ Σωκράτης,
power of-the kiss to-be And this said — Socrates

θαυμάζεις; οὐκ οἶσθ' ὅτι τὰ φαλάγγια οὐδ' ἡμιωβελιαῖα
you-wonder-at not you-know that the spiders not-even half-obol-sized
τὸ μέγεθος ὄντα προσαψάμενα μόνον τῷ στόματι
in-the size being having-touched only with-the mouth
ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους καὶ τοῦ
with-the both pains wear-out the men and from-the
φρονεῖν ἐξίστησι; Ναί μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι
to-think drive Yes by Zeus said — Xenophon they-inject
γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα.
for something the spiders through the bite
Ὦ μῶρε, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει 13
O fool said — Socrates the and beautiful not you-think
φιλοῦντας ἐνιέναι τι, ὅτι σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθ'
kissing to-inject anything because you not see not you-know
ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον,
that this — beast which they-call beautiful and blooming
τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ
by-so-much more-terrible is than-the spiders by-as-much-as
ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐάν
those indeed having-touched this but not-even touching if
τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πρόσωθεν
anyone it gazes-at injects something even very from-afar
τοιοῦτον ὥστε μαίνεσθαι ποιεῖν; [ἴσως δὲ καὶ οἱ ἔρωτες
such as to-be-mad to-make perhaps and also the Loves
τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πρόσωθεν οἱ
archers because-of this are-called because even from-afar the
καλοὶ τιτρώσκουσιν.] ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν,
beautiful wound but I-advise you O Xenophon
ὁπόταν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην. σοὶ δ',
whenever you-see some beauty to-flee headlong you and

ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόλις γὰρ ἂν
O Critobulus I-advise to-go-abroad-a-year scarcely for —
ἴσως ἐν τοσούτῳ χρόνῳ [τὸ δῆγμα] ὑγιὴς γένοιο.
perhaps in so-much time from-the bite healthy you-would-become
14 οὕτω δὴ καὶ ἀφροδισιάζειν τοὺς μὴ ἀσφαλῶς ἔχοντας
thus indeed also to-indulge-in-sex those not safely being
πρὸς ἀφροδίσια ᾤετο χρῆναι πρὸς τοιαῦτα, οἷα μὴ
toward sexual-pleasures he-thought it-necessary with such-things as not
πάνυ μὲν δεομένου τοῦ σώματος οὐκ ἂν προσδέξαιτο
very indeed needing the body not — would-accept
ἡ ψυχή, δεομένου δὲ οὐκ ἂν πράγματα παρέχοι. αὐτὸς
the soul needing and not — trouble would-cause himself
δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευασμένος ὥστε
but toward these-things evident was so prepared that
ῥᾷον ἀπέχεσθαι τῶν καλλίστων καὶ ὡραιοτάτων ἢ
more-easily to-abstain from-the most-beautiful and most-blooming than
οἱ ἄλλοι τῶν αἰσχίστων καὶ ἀωροτάτων.
the others from-the ugliest and most-unseasonable
15 [περὶ μὲν δὴ βρώσεως καὶ πόσεως καὶ ἀφροδισίων
about indeed truly eating and drinking and sexual-pleasures
οὕτω παρεσκευασμένος ἦν καὶ ᾤετο οὐδὲν ἂν
so prepared he-was and he-thought nothing —
ἧττον ἀρκούντως ἥδεσθαι τῶν πολλὰ ἐπὶ τούτοις
less sufficiently to-take-pleasure than-those much over these-things
πραγματευομένων, λυπεῖσθαι δὲ πολὺ ἔλαττον.]
busying-themselves to-be-pained but much less

Seeing that Aristodemus neither sacrificed nor used divination, Socrates asks whether makers of living things are more admirable than makers of images. The senses, the eyelids, the teeth, and the love of offspring all show design. Man alone stands upright and has hands, speech, a soul that knows the gods, and pleasures all year round. If the gods show they care by signs, Aristodemus should serve them and learn that the divine sees, hears, and cares for all at once.

Εἰ δέ τινες Σωκράτη νομίζουσιν, οἷς ἔνιοι γράφουσί τε 1
If and some Socrates think from-what some write both
καὶ λέγουσι περὶ αὐτοῦ τεκμαιρόμενοι, προτρέψασθαι μὲν
and say about him judging to-exhort indeed
ἀνθρώπους ἐπ᾽ ἀρετὴν κράτιστον γεγονέναι, προαγαγεῖν
men toward virtue most-able to-have-been to-lead-on
δ᾽ ἐπ᾽ αὐτὴν οὐχ ἱκανόν, σκεψάμενοι μὴ μόνον ἃ
but toward it not capable having-considered not only what
ἐκεῖνος κολαστηρίου ἕνεκα τοὺς πάντ᾽ οἰομένους εἰδέναι
that-man of-correction for-the-sake those all-things thinking to-know
ἐρωτῶν ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς
questioning refuted but also what saying he-spent-the-day-with those
συνδιατρίβουσι, δοκιμαζόντων εἰ ἱκανὸς ἦν βελτίους
spending-time-with-him let-them-judge whether capable he-was better
ποιεῖν τοὺς συνόντας.
to-make the associates

λέξω δὲ πρῶτον ἅ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ 2
I-shall-tell and first what once from-him I-heard about the
δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν μικρὸν
divine-sign conversing with Aristodemus the little
ἐπικαλούμενον. καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς
called having-observed for him neither sacrificing to-the
θεοῖς οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων
gods nor divination using but even those doing

ταῦτα καταγελῶντα· Εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν
these-things ridiculing Tell me he-said O Aristodemus are-there
οὕστινας ἀνθρώπους τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ', ἔφη.
any men you-have-admired for wisdom I-at-least he-said
3 καὶ ὅς· Λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν
and he Tell us he-said the names of-them For indeed then
ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ
of-epic poetry Homer I-at-least most have-admired for and
διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ
dithyramb Melanippides for and tragedy Sophocles for
δὲ ἀνδριαντοποιίᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν.
and statue-making Polyclitus for and painting Zeuxis
4 Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά
Whether to-you seem those making images senseless
τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι ἢ οἱ ζῷα
both and motionless more-admirable to-be or those living-things
ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ νὴ Δία οἱ ζῷα, εἴπερ
intelligent both and active Much by Zeus those living-things if
γε μὴ τύχῃ τινί, ἀλλ' ὑπὸ γνώμης ταῦτα γίγνεται.
at-least not by-chance some but by intelligence these-things come-about
Τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι καὶ
Of-the-things and without-sign being for-what for-the-sake is and
τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων πότερα τύχης καὶ
of-the-things evidently for benefit being whether of-chance and
πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ'
whether of-intelligence works do-you-judge It-is-fitting indeed the-things for
ὠφελείᾳ γιγνόμενα γνώμης εἶναι ἔργα.
benefit coming-about of-intelligence to-be works
5 Οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ'
Therefore seems to-you he from the-beginning making men for
ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα,
benefit to-have-added to-them through which they-perceive each-thing

ὀφθαλμοὺς μὲν ὥσθ᾽ ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστ᾽ ἀκούειν
eyes indeed so-as to-see the visible ears and so-as to-hear
τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν,
the audible of-smells at-least moreover if not noses had-been-added
τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ᾽ ἂν αἴσθησις ἦν
what — to-us use would-there-be what and — perception would-there-be
γλυκέων καὶ δριμέων καὶ πάντων τῶν διὰ στόματος
of-sweet-things and sharp-things and all the through mouth
ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;
pleasant-things if not a-tongue of-these judge had-been-wrought-in
πρὸς δὲ τούτοις οὐ δοκεῖ σοι καὶ τάδε προνοίας ἔργοις 6
in-addition and to-these not seems to-you also these-things of-forethought to-works
ἐοικέναι, τό, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις
to-be-like the since weak indeed is the sight with-eyelids
αὐτὴν θυρῶσαι, ἅ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι
it to-furnish-with-doors which whenever indeed it to-use for-something
δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται, ὡς δ᾽
it-is-needful are-opened in and the sleep are-closed so-that and
ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἡθμὸν βλεφαρίδας ἐμφῦσαι,
— not-even winds should-harm as-a-strainer eyelashes to-implant
ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς
with-eyebrows and to-eave the-parts above the eyes so-that
μηδ᾽ ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ· τὸ δὲ τὴν ἀκοὴν
not-even the from the head sweat should-do-harm the and the hearing
δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίμπλασθαι δὲ μήποτε· καὶ
to-receive indeed all sounds to-be-filled but never and
τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζῴοις οἵους τέμνειν
the indeed front teeth for-all living-things such-as to-cut
εἶναι, τοὺς δὲ γομφίους οἵους παρὰ τούτων δεξαμένους
to-be the and molars such-as from these having-received
λεαίνειν· καὶ στόμα μέν, δι᾽ οὗ ὧν ἐπιθυμεῖ τὰ ζῷα
to-grind and mouth indeed through which what desire the living-things

εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι, ἐπεὶ
is-sent-in near eyes and noses to-place since
δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων
and the-things departing offensive to-turn-away the of-these
ὀχετοὺς [καὶ ἀπενεγκεῖν] ᾗ δυνατὸν προσωτάτω ἀπὸ
channels and to-carry-off where possible farthest from
τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα
the senses these-things so providently done
ἀπορεῖς πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν;
are-you-at-a-loss whether of-chance or of-intelligence works are

7 Οὐ μὰ τὸν Δί᾽, ἔφη, ἀλλ᾽ οὕτω γε σκοπουμένῳ πάνυ
Not by — Zeus he-said but so at-least to-one-considering very
ἔοικε ταῦτα σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζῴου
resemble these-things of-a-wise some craftsman and loving-living-things
τεχνήμασι. Τὸ δὲ ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιίας,
contrivances The and to-implant indeed love of-the begetting-of-children
ἐμφῦσαι δὲ ταῖς γειναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς
to-implant and in-those having-given-birth love of-the to-rear in-those
δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ
and reared greatest indeed longing of-the to-live greatest and
φόβον τοῦ θανάτου; Ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί
fear of-the death Surely also these-things resemble contrivances
τινος ζῷα εἶναι βουλευσαμένου.
of-someone living-things to-be having-planned

8 Σὺ δ᾽ ἐν σαυτῷ φρόνιμόν τι δοκεῖς ἔχειν; Ἐρώτα
You and in yourself intelligent something seem to-have Ask
γοῦν καὶ ἀποκρινοῦμαι. Ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει
at-any-rate and I-shall-answer Elsewhere but nowhere anything you-think
φρόνιμον εἶναι; καὶ ταῦτ᾽ εἰδὼς ὅτι γῆς τε μικρὸν
intelligent to-be and these-things knowing that of-earth both small
μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις καὶ ὑγροῦ
part in the body much being you-have and of-moisture

βραχὺ πολλοῦ ὄντος καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων
a-little much being and of-the other surely great being
ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί
of-each small part having-taken the body has-been-fitted-together
σοι· νοῦν δὲ μόνον ἄρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πῶς
for-you mind but alone then nowhere being you by-luck how
δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος
you-think to-have-snatched and these — immense-things and in-number
ἄπειρα δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν;
infinite through senselessness some thus you-think in-good-order to-be
Μὰ Δί' οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε 9
By Zeus not for I-see the masters as of-the-things here
γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ
coming-about the craftsmen Not-even for — of-yourself
σύγε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν·
you-at-least soul you-see which of-the body master is
ὥστε κατά γε τοῦτο ἔξεστί σοι λέγειν, ὅτι οὐδὲν
so-that according-to at-least this it-is-possible for-you to-say that nothing
γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.
by-intelligence but by-chance all-things you-do
καὶ ὁ Ἀριστόδημος· Οὕτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, 10
and — Aristodemus Not-indeed he-said I O Socrates
ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον
look-down-on the divine but that more-magnificent
ἡγοῦμαι ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν,
I-consider than so-as — of-my service to-need-besides Therefore
ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ὂν ἀξιοῖ σὲ θεραπεύειν,
he-said by-as-much-as more-magnificent being it-deigns you to-serve
τοσούτῳ μᾶλλον τιμητέον αὐτό.
by-so-much more must-be-honored it

11 Εὖ ἴσθι, ἔφη, ὅτι, εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι
Well know he-said that if I-thought gods for-men anything
φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ᾽ οὐκ οἴει
to-care not — I-would-neglect them Then not do-you-think
φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζῴων ἄνθρωπον
they-care who first indeed alone of-the living-things man
ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾶν πλέον ποιεῖ
upright set-up the and uprightness both to-see-ahead farther makes
δύνασθαι καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι καὶ ἧττον
to-be-able and the-things above more to-view and less
κακοπαθεῖν· [καὶ ὄψιν καὶ ἀκοὴν καὶ στόμα ἐνεποίησαν·]
to-suffer-hurt and sight and hearing and mouth implanted
ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ
then to-the indeed other creeping-things feet gave which the
πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας
to-walk only provide to-man but also hands
προσέθεσαν, αἳ τὰ πλεῖστα οἷς εὐδαιμονέστεροι ἐκείνων
they-added which the most-things by-which happier than-those
ἐσμὲν ἐξεργάζονται.
we-are accomplish

12 καὶ μὴν γλῶττάν γε πάντων τῶν ζῴων ἐχόντων,
and indeed tongue at-least all the living-things having
μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν ἄλλοτε ἀλλαχῇ
alone the of-the men they-made such-as at-one-time in-one-place
ψαύουσαν τοῦ στόματος ἀρθροῦν τε τὴν φωνὴν καὶ
touching the mouth to-articulate both the voice and
σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. [τὸ δὲ καὶ
to-signify all-things to-one-another which we-wish the and also
τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὲν ἄλλοις ζῴοις
the of-the sexual-pleasures pleasures to-the indeed other living-things

δοῦναι περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς
to-give having-limited of-the year a-season to-us but continuously
μέχρι γήρως ταῦτα παρέχειν;]
until old-age these-things to-provide
οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, 13
not then only it-sufficed for-the god of-the body to-take-care
ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ
but which greatest is also the soul strongest in-the
ἀνθρώπῳ ἐνέφυσε. τίνος γὰρ ἄλλου ζῴου ψυχὴ πρῶτα
man he-implanted of-what for other living-thing soul first
μὲν θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων
indeed of-gods of-those the greatest and finest-things having-ordered
ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ ἄνθρωποι θεοὺς
has-perceived that they-are what and race other than men gods
θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα
serve what-sort and soul than-the human more-able
προφυλάττεσθαι ἢ λιμὸν ἢ δίψος ἢ ψύχη ἢ θάλπη, ἢ νόσοις
to-guard-against either hunger or thirst or cold or heat or diseases
ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ
to-remedy or strength to-train or for learning to-labor or
ὅσα ἂν ἀκούσῃ ἢ ἴδῃ ἢ μάθῃ ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;
whatever — it-hears or sees or learns more-able is to-remember
οὐ γὰρ πάνυ σοι κατάδηλον ὅτι παρὰ τἆλλα ζῷα 14
not for very to-you plain that compared-with the-other living-things
ὥσπερ θεοὶ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι
like gods men live by-nature both in-the body
καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων
and in-the soul excelling neither for of-an-ox — having
σῶμα, ἀνθρώπου δὲ γνώμην ἐδύνατ' ἂν πράττειν ἃ
body of-a-man but mind could — do what
ἐβούλετο, οὔθ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστί, πλέον
he-wished nor whatever hands have senseless but are more

οὐδὲν ἔχει. σὺ δ' ἀμφοτέρων τῶν πλείστου ἀξίων
anything have you but both of-the-things most worth
τετυχηκὼς οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν
having-obtained not you-think of-you gods to-take-care but when
τί ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν;
what they-do will-you-think them of-you to-care
15 Ὅταν πέμπωσιν, ὥσπερ σοὶ σὺ φὴς πέμπειν αὐτούς,
When they-send as to-you you say to-send them
συμβούλους ὅ τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν
counselors what ever it-is-needful to-do and not to-do When
δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς
and to-the-Athenians he-said inquiring something through divination
φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς, οὐδ' ὅταν
they-tell not also to-you do-you-think to-tell them nor when
τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν
to-the Greeks portents sending they-forewarn nor when
πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ
to-all men but only you excepting in neglect
κατατίθενται;
they-put
16 οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι
do-you-think and — the gods in-the men belief to-have-implanted
ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν,
that able they-are well and ill to-do if not able they-were
καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ'
and men deceived the all time never
ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ
— to-have-perceived not you-see that the most-long-lived and
σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά
wisest of-the human-things cities and nations most-god-fearing
ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται;
are and the most-intelligent ages of-gods most-heedful

ὠγαθέ, ἔφη, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν 17
good-sir he-said learn that also — your mind being-in — your
σῶμα ὅπως βούλεται μεταχειρίζεται. οἴεσθαι οὖν χρὴ
body as it-wishes handles to-think then it-is-needful
καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν
also the in the all intelligence the-things all as —
αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι, καὶ μὴ τὸ σὸν μὲν ὄμμα
to-it pleasant be so to-arrange and not — your indeed eye
δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ
to-be-able over many stades to-reach the but of-the god
ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν
eye unable to-be at-once all-things to-see nor — your
μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν
indeed soul both about the-things here and about the-things in
Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ
Egypt and in Sicily to-be-able to-think-about the but of-the
θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.
god intelligence not capable to-be at-once of-all-things to-take-care
ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις 18
if however as men serving you-recognize
τοὺς ἀντιθεραπεύειν ἐθέλοντας καὶ χαριζόμενος τοὺς
those to-serve-in-return willing and doing-favors those
ἀντιχαριζομένους καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς
doing-favors-in-return and taking-counsel you-learn the
φρονίμους, οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς θεραπεύων,
prudent so also of-the gods trial you-take serving
εἴ τί σοι θελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις
whether something to-you they-will-be-willing about the-things uncertain to-men
συμβουλεύειν, γνώσει τὸ θεῖον ὅτι τοσοῦτον καὶ τοιοῦτόν
to-counsel you-will-know the divine that so-great and such

ἐστιν ὥσθ᾽ ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ
is as at-once all-things to-see and all-things to-hear and
πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι.
everywhere to-be-present and at-once of-all-things to-take-care

19 ἐμοὶ μὲν οὖν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας
to-me indeed then these-things saying not only the associates
ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο,
he-seemed to-make whenever by the men they-were-seen
ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν,
to-abstain from-the unholy-things both and unjust and shameful
ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπείπερ ἡγήσαιντο μηδὲν
but also whenever in solitude they-were since they-believed nothing
ἄν ποτε ὧν πράττοιεν θεοὺς διαλαθεῖν.
— ever of-what they-did gods to-escape-the-notice-of

V · SELF-CONTROL THE FOUNDATION

Socrates asks his companions whom they would choose as a general, a guardian of children, or a steward: not the man ruled by belly, wine, sex, or sleep. The uncontrolled man harms himself most of all, ruining his household, body, and soul, and is no pleasure as a companion. Self-control is the foundation of virtue, and Socrates showed it in deed, taking no money, since a man who takes it makes himself a slave.

1 [Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθὸν ἀνδρὶ
If and indeed also self-control fine both and-good for-a-man
κτῆμά ἐστιν, ἐπισκεψώμεθα εἴ τι προυβίβαζε λέγων
possession is let-us-consider whether at-all he-led-on saying
εἰς ταύτην τοιάδε·] Ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου
toward it such-things O men if war for-us having-arisen
βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ᾽ οὗ μάλιστ᾽ ἂν αὐτοὶ μὲν
we-wished to-choose a-man by whom most — ourselves indeed

σῳζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅντινα
we-might-be-saved the and enemies we-might-subdue then whomever
αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων [ἢ πόνου]
we-perceived weaker than-belly or wine or sexual-pleasures or toil
ἢ ὕπνου, τοῦτον ἂν αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν
or sleep this-man — would-we-choose and how — could-we-suppose
τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι ἢ τοὺς πολεμίους κρατῆσαι;
— such-a-one either us to-save or the enemies to-overcome
εἰ δ' ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ 2
if and at end of-the life having-come we-wished to-someone
ἐπιτρέψαι ἢ παῖδας ἄρρενας παιδεῦσαι ἢ θυγατέρας
to-entrust either children male to-educate or daughters
παρθένους διαφυλάξαι ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον
maiden to-guard or property to-preserve then trustworthy
εἰς ταῦθ' ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ'
for these-things would-we-consider — the uncontrolled-man to-a-slave and
ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα ἢ ταμιεῖα ἢ
uncontrolled would-we-entrust — either flocks or storerooms or
ἔργων ἐπιστασίαν; διάκονον δὲ καὶ ἀγοραστὴν τοιοῦτον
of-works supervision a-servant and and buyer such
ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν;
would-we-be-willing — for-nothing to-take
ἀλλὰ μὴν εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς 3
but surely if at-least not-even a-slave uncontrolled we-would-accept — how
οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι; καὶ
not worth himself at-least to-guard-against such to-become and
γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι
for not like the grasping-men from-the others taking-away
χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς
property themselves seem to-enrich so the uncontrolled-man
τοῖς μὲν ἄλλοις βλαβερός, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ
for-the indeed others harmful to-himself but beneficial but

κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος,
evildoer indeed of-the others of-himself but much more-evildoing
εἴ γε κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν
if at-least most-evildoing is not only the household —
ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.
his-own to-ruin but also the body and the soul
4 [ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν
in company and who — would-be-pleased — with-such-a-one whom
εἰδείη τῷ ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ
he-knew in-the relish both and in-the wine delighting more than
τοῖς φίλοις καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς
in-the friends and the harlots cherishing more than the
ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα, ἡγησάμενον
comrades then at-least not it-is-needful every man considering
τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν
the self-control of-virtue to-be foundation this first in
τῇ ψυχῇ κατασκευάσασθαι;
the soul to-lay-down
5 τίς γὰρ ἂν ἄνευ ταύτης ἢ μάθοι τι ἀγαθὸν
who for — without this either could-learn anything good
ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς
or could-practice worthily or who not — to-the pleasures
δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν
being-enslaved shamefully would-be-disposed both the body and the
ψυχήν;] ἐμοὶ μὲν δοκεῖ νὴ τὴν Ἥραν [ἐλευθέρῳ μὲν ἀνδρὶ
soul to-me indeed it-seems by — Hera for-a-free indeed man
εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου,] δουλεύοντα [δὲ]
desirable to-be not to-obtain a-slave such one-serving but
ταῖς τοιαύταις ἡδοναῖς ἱκετευτέον τοὺς θεοὺς δεσποτῶν
— such pleasures must-pray the gods masters
ἀγαθῶν τυχεῖν· οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.
good to-obtain so for — only — such-a-one could-be-saved

[τοιαῦτα δὲ λέγων ἔτι ἐγκρατέστερον τοῖς ἔργοις ἢ τοῖς 6
such-things and saying still more-self-controlled by-the deeds than by-the
λόγοις ἑαυτὸν ἐπεδείκνυεν· οὐ γὰρ μόνον τῶν διὰ τοῦ
words himself he-showed not for only the through the
σώματος ἡδονῶν ἐκράτει, ἀλλὰ καὶ τῆς διὰ τῶν
body pleasures he-mastered but also the-pleasure through the
χρημάτων, νομίζων τὸν παρὰ τοῦ τυχόντος χρήματα
money thinking the-one from the chance-comer money
λαμβάνοντα δεσπότην ἑαυτοῦ καθιστάναι καὶ δουλεύειν
taking master of-himself to-set-up and to-serve
δουλείαν οὐδεμιᾶς ἧττον αἰσχράν.]
a-slavery than-none less shameful

VI · SOCRATES AND ANTIPHON

The sophist Antiphon taunts Socrates with his poor food, single cloak, and bare feet, and tells him he teaches unhappiness. Socrates answers that taking no fee leaves him free to talk with whom he pleases, that hunger makes plain food pleasant, and that training makes him strong. To need nothing is divine, to need little is nearest the divine. Wisdom sold for money is prostitution; he gives it to friends, and he serves the city best by making many fit for politics.

Ἄξιον δ' αὐτοῦ καὶ ἃ πρὸς Ἀντιφῶντα τὸν σοφιστὴν 1
Worth-while and of-him also what with Antiphon the sophist
διελέχθη μὴ παραλιπεῖν. ὁ γὰρ Ἀντιφῶν ποτε βουλόμενος
he-discussed not to-leave-out — for Antiphon once wishing
τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι προσελθὼν τῷ
the companions of-him to-draw-away having-approached —
Σωκράτει παρόντων αὐτῶν ἔλεξε τάδε·
to-Socrates being-present them he-said these-things

2 Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας
O Socrates I indeed thought those philosophizing
εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι· σὺ δέ μοι δοκεῖς
happier it-was-needful to-become you but to-me seem
τἀναντία τῆς φιλοσοφίας ἀπολελαυκέναι. ζῇς γοῦν
the-opposite of-the philosophy to-have-reaped you-live at-any-rate
οὕτως ὡς οὐδ' ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος
so as not-even — one slave under a-master living
μείνειε· σιτία τε σιτεῖ καὶ ποτὰ πίνεις τὰ φαυλότατα, καὶ
would-remain food both you-eat and drinks you-drink the most-wretched and
ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους
a-cloak you-wear not only wretched but the same in-summer
τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς.
both and in-winter unshod both and without-tunic you-continue
3 καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμένους
and indeed money at-least not you-take which both those-acquiring
εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερόν τε καὶ
delights and those-having-acquired more-liberally both and
ἥδιον ποιεῖ ζῆν. εἰ οὖν ὥσπερ καὶ τῶν ἄλλων
more-pleasantly makes to-live if then as also of-the other
ἔργων οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν
works the teachers the pupils imitators of-themselves
ἀποδεικνύουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις,
render so also you the associates will-dispose
νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι.
think of-unhappiness teacher to-be
4 καὶ ὁ Σωκράτης πρὸς ταῦτα εἶπε· Δοκεῖς μοι, ὦ Ἀντιφῶν,
and — Socrates to these-things said You-seem to-me O Antiphon
ὑπειληφέναι με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι σὲ
to-have-supposed me so distressingly to-live that I-am-persuaded you

μᾶλλον ἀποθανεῖν ἂν ἑλέσθαι ἢ ζῆν ὥσπερ ἐγώ. ἴθι
rather to-die — to-choose than to-live as I come
οὖν ἐπισκεψώμεθα τί χαλεπὸν ᾔσθησαι τοὐμοῦ βίου.
then let-us-consider what hard you-have-perceived of-my life
πότερον ὅτι τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν 5
whether that for-those indeed taking money necessary
ἐστιν ἀπεργάζεσθαι τοῦτο ἐφ' ᾧ ἂν μισθὸν λάβωσιν,
it-is to-perform this for which — a-wage they-take
ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέγεσθαι ᾧ ἂν
for-me but not taking not necessity to-converse with-whom —
μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις ὡς ἧττον μὲν
not I-wish or the way-of-life of-me you-disparage as less indeed
ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα;
healthful-things eating me than you less and strength providing
ἢ ὡς χαλεπώτερα πορίσασθαι τὰ ἐμὰ διαιτήματα τῶν σῶν
or as harder to-procure — my provisions — than-yours
διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ ὡς
because-of the scarcer both and more-costly to-be or as
ἡδίω σοι ἃ σὺ παρασκευάζει ὄντα ἢ ἐμοὶ ἃ ἐγώ;
more-pleasant to-you what you provide being than to-me what I
οὐκ οἶσθ' ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ
not you-know that he indeed most-pleasantly eating least of-relish needs he
δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ;
and most-pleasantly drinking least of-the not being-present desires drink
τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι 6
the at-least moreover cloaks you-know that those changing
ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα
of-cold and heat for-the-sake change and shoes
ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας
put-on so-that not because-of the-things paining the feet
κωλύωνται πορεύεσθαι· ἤδη οὖν ποτε ἦσθου ἐμὲ ἢ
they-be-hindered to-walk already then ever did-you-perceive me either

διὰ ψῦχος μᾶλλόν του ἔνδον μένοντα, ἢ διὰ
because-of cold more than-anyone indoors staying or because-of
θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς, ἢ διὰ τὸ
heat fighting with-anyone about shade or because-of the
ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα ὅποι ἂν βούλωμαι;
to-be-in-pain the feet not walking wherever — I-wish
7 οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι
not you-know that those by-nature weakest in-the body
μελετήσαντες τῶν ἰσχυροτάτων ἀμεληsάντων κρείττους
having-practiced than-the strongest having-neglected-it stronger
τε γίγνονται πρὸς ἃ ἂν μελετήσωσι καὶ ῥᾷον αὐτὰ
both become in what — they-practice and more-easily them
φέρουσιν; ἐμοὶ δὲ ἄρα οὐκ οἴει, τῷ σώματι ἀεὶ
bear me but then not do-you-think in-the body always
τὰ συντυγχάνοντα μελετῶντι καρτερεῖν, πάντα ῥᾷον
the-things befalling practicing to-endure all-things more-easily
φέρειν σοῦ μὴ μελετῶντος;
to-bear than-you not practicing
8 τοῦ δὲ μὴ δουλεύειν γαστρὶ μηδ' ὕπνῳ καὶ λαγνείᾳ
of-the and not to-be-a-slave to-belly nor to-sleep and lust
οἴει τι ἄλλο αἰτιώτερον εἶναι ἢ τὸ ἕτερα ἔχειν
do-you-think anything other more-responsible to-be than the other-things to-have
τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει,
than-these more-pleasant which not only in use being delight
ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί; καὶ μὴν
but also hopes providing to-benefit always and indeed
τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν
this at-least you-know that those indeed thinking nothing well to-fare
οὐκ εὐφραίνονται, οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν
not are-delighted those but believing well to-go-forward

ἑαυτοῖς ἢ γεωργίαν ἢ ναυκληρίαν ἢ ἄλλ᾽ ὅ τι ἂν
for-themselves either farming or shipping or other what ever —
τυγχάνωσιν ἐργαζόμενοι ὡς εὖ πράττοντες εὐφραίνονται·
they-happen working-at as well faring are-delighted
οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι 9
do-you-think then from all these-things so-great pleasure to-be
ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι
as-great-as from the oneself both to-believe better to-become
καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα
and friends better to-acquire I then continue these-things
νομίζων. ἐὰν δὲ δὴ φίλους ἢ πόλιν ὠφελεῖν δέῃ,
believing if and indeed friends or city to-benefit it-be-needful
ποτέρῳ ἡ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ
for-which-of-the-two the more leisure these-things to-care-for for-the-one
ὡς ἐγὼ νῦν ἢ τῷ ὡς σὺ μακαρίζεις διαιτωμένῳ;
as I now or for-the-one as you call-happy living
στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος
would-serve-in-the-field and which-of-the-two — more-easily he not able
ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν
without costly living to-live or he-for-whom the present
ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ
would-suffice would-be-starved-out and which-of-the-two — sooner he
τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾳστοις
of-the hardest-things to-find needing or he the easiest-things
ἐντυγχάνειν ἀρκούντως χρώμενος;
to-come-upon sufficiently using
ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν 10
you-seem O Antiphon the happiness like-one-thinking luxury
καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς
and extravagance to-be I but think the indeed of-nothing
δέεσθαι θεῖον εἶναι, τὸ δ᾽ ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ
to-need divine to-be the and as of-fewest-things nearest to-the

θείου, καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δ' ἐγγυτάτω τοῦ
divine and the indeed divine strongest the and nearest to-the
θείου ἐγγυτάτω τοῦ κρατίστου.
divine nearest to-the strongest

11 Πάλιν δέ ποτε ὁ Ἀντιφῶν διαλεγόμενος τῷ Σωκράτει· Ὦ
Again and once — Antiphon conversing — with-Socrates O
Σώκρατες, ἐγώ τοί σε δίκαιον μὲν νομίζω, σοφὸν δὲ οὐδ'
Socrates I surely you just indeed consider wise but not-even
ὁπωστιοῦν· δοκεῖς δέ μοι καὶ αὐτὸς τοῦτο γιγνώσκειν·
in-any-way-whatever you-seem and to-me also yourself this to-know
οὐδένα γοῦν τῆς συνουσίας ἀργύριον πράττει. καίτοι τό
no-one at-any-rate for-the company money you-exact and-yet the
γε ἱμάτιον ἢ τὴν οἰκίαν ἢ ἄλλο τι ὧν κέκτησαι
at-least cloak or the house or other anything of-what you-possess
νομίζων ἀργυρίου ἄξιον εἶναι οὐδενὶ ἂν μὴ ὅτι προῖκα
thinking of-money worth to-be to-no-one — not to-speak-of for-nothing
δοίης, ἀλλ' οὐδ' ἔλαττον τῆς ἀξίας λαβών.
you-would-give but not-even less than-the worth taking

12 δῆλον δὴ ὅτι εἰ καὶ τὴν συνουσίαν ᾧου τινὸς
clear indeed that if also the company you-thought of-something
ἀξίαν εἶναι, καὶ ταύτης ἂν οὐκ ἔλαττον τῆς ἀξίας
worth to-be also for-this — not less than-the worth
ἀργύριον ἐπράττου. δίκαιος μὲν οὖν ἂν εἴης, ὅτι
money you-would-exact just indeed then — you-would-be because
οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ, σοφὸς δὲ οὐκ ἄν, μηδενός
not you-deceive for gain wise but not — nothing
γε ἄξια ἐπιστάμενος.
at-least worth knowing

13 ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν· Ὦ Ἀντιφῶν, παρ'
— and Socrates to these-things said O Antiphon among
ἡμῖν νομίζεται τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν
us it-is-thought the beauty and the wisdom alike indeed

καλόν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι. τήν τε γὰρ
honorable alike and shameful to-dispose-of to-be the both for
ὥραν ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ,
beauty if indeed someone for-money sells to-the one-wishing
πόρνον αὐτὸν ἀποκαλοῦσιν, ἐὰν δέ τις, ὃν ἂν γνῷ
a-prostitute him they-call if but someone whom — he-knows
καλόν τε κἀγαθὸν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ
fine both and-good a-lover being this-one a-friend to-himself
ποιῆται, σώφρονα νομίζομεν· καὶ τὴν σοφίαν ὡσαύτως
makes temperate we-consider and the wisdom likewise
τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας σοφιστὰς
those indeed for-money to-the one-wishing selling sophists
[ὥσπερ πόρνους] ἀποκαλοῦσιν, ὅστις δέ, ὃν ἂν γνῷ
like prostitutes they-call whoever but whom — he-knows
εὐφυᾶ ὄντα, διδάσκων, ὅ τι ἂν ἔχῃ ἀγαθόν, φίλον
well-endowed being teaching what ever — he-has good a-friend
ποιεῖται, τοῦτον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ
makes this-one we-consider what for-the fine and-good citizen
προσήκει, ταῦτα ποιεῖν.
befits these-things to-do
ἐγὼ δ' οὖν καὶ αὐτός, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις 14
I and then also myself O Antiphon just-as other someone
ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ
either in-a-horse good or in-a-dog or in-a-bird takes-pleasure so also
ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ ἐάν τι ἔχω
still more take-pleasure in-friends good and if anything I-have
ἀγαθόν, διδάσκω, καὶ ἄλλοις συνίστημι παρ' ὧν ἂν
good I-teach and to-others I-introduce from whom —
ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν· καὶ τοὺς
I-think to-be-benefited something them toward virtue and the
θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον
treasures of-the old wise men which those left

ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις
in books having-written unrolling in-common with the friends
διέρχομαι, κἄν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα· καὶ
I-go-through and-if anything we-see good we-pick-out and
μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις φίλοι γιγνώμεθα.
great we-consider gain if to-one-another friends we-become
ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι ἐδόκει αὐτός τε μακάριος
to-me indeed truly these-things hearing he-seemed himself both blessed
εἶναι καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκἀγαθίαν ἄγειν.
to-be and those hearing toward nobility-and-goodness to-lead
15 Καὶ πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτόν, πῶς
And again once — Antiphon having-asked him how
ἄλλους μὲν ἡγοῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δ' οὐ πράττοι
others indeed he-thought statesmen to-make himself but not did
τὰ πολιτικά, εἴπερ ἐπίσταιτο· Ποτέρως δ' ἄν, ἔφη,
the political-affairs if-indeed he-understood(-them) In-which-way and — he-said
ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος
O Antiphon more the political-affairs would-I-do if alone
αὐτὰ πράττοιμι ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους
them I-did or if I-took-care of-the as many-as-possible
ἱκανοὺς εἶναι πράττειν αὐτά;
capable to-be to-do them

VII · AGAINST PRETENSION

Socrates turned his companions from pretense to real virtue. A man who wants to seem a good flute-player without being one must imitate the outward show, and will be exposed and ridiculed as soon as he plays. The pretended general or steersman ruins those he leads. Seeming rich, brave, or strong brings tasks beyond one's power, and the worst cheat is the man who persuades a city that he is fit to lead it.

Ἐπισκεψώμεθα δὲ εἰ καὶ ἀλαζονείας ἀποτρέπων τοὺς 1
Let-us-consider and whether also from-boastfulness turning-away the
συνόντας ἀρετῆς ἐπιμελεῖσθαι προέτρεπεν· ἀεὶ γὰρ ἔλεγεν,
associates virtue to-cultivate he-urged always for he-said
ὡς οὐκ εἴη καλλίων ὁδὸς ἐπ᾽ εὐδοξίαν, ἢ δι᾽
that not there-was finer road to good-repute than through
ἧς ἄν τις ἀγαθὸς τοῦτο γένοιτο, ὃ καὶ δοκεῖν
which — anyone good in-this would-become in-which also to-seem
βούλοιτο. ὅτι δ᾽ ἀληθῆ ἔλεγεν, ὧδ᾽ ἐδίδασκεν·
he-wished that and true-things he-said thus he-taught
Ἐνθυμώμεθα γάρ, ἔφη, εἴ τις μὴ ὢν ἀγαθὸς αὐλητὴς 2
Let-us-reflect for he-said if someone not being good flute-player
δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη. ἆρ᾽ οὐ
to-seem wished what — for-him must-be-done would-be then not
τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς;
the-things outside of-the art must-be-imitated the good flute-players
καὶ πρῶτον μέν, ὅτι ἐκεῖνοι σκευήν τε καλὴν κέκτηνται
and first indeed because those equipment both fine have-acquired
καὶ ἀκολούθους πολλοὺς περιάγονται, καὶ τούτῳ ταῦτα
and attendants many lead-about also for-this-man these-things
ποιητέον· ἔπειτα, ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ
must-be-done next because those many praise also
τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον. ἀλλὰ μὴν
for-this-man many praisers must-be-provided but indeed
ἔργον γε οὐδαμοῦ ληπτέον, ἢ εὐθὺς ἐλεγχθήσεται
a-performance at-least nowhere must-be-undertaken or at-once he-will-be-exposed
γελοῖος ὢν καὶ οὐ μόνον αὐλητὴς κακός, ἀλλὰ καὶ
ridiculous being and not only flute-player bad but also
ἄνθρωπος ἀλαζών. καίτοι πολλὰ μὲν δαπανῶν, μηδὲν δ᾽
a-man boastful and-yet much indeed spending nothing but

ὠφελούμενος, πρὸς δὲ τούτοις κακοδοξῶν πῶς οὐκ
being-benefited in-addition and to-these having-a-bad-name how not
ἐπιπόνως τε καὶ ἀλυσιτελῶς καὶ καταγελάστως βιώσεται;
laboriously both and unprofitably and ridiculously will-be-live

3 ὡς δ' αὕτως εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς
in-the-same and way if someone wished general good
μὴ ὢν φαίνεσθαι ἢ κυβερνήτης, ἐννοῶμεν, τί ἂν αὐτῷ
not being to-appear or steersman let-us-consider what — to-him
συμβαίνοι. ἆρ' οὐκ ἄν, εἰ μὲν ἐπιθυμῶν τοῦ δοκεῖν
would-happen then not — if indeed desiring of-the to-seem
ἱκανὸς εἶναι ταῦτα πράττειν μὴ δύναιτο πείθειν, τοῦτ'
capable to-be these-things to-do not he-were-able to-persuade this
εἴη λυπηρόν, εἰ δὲ πείσειεν, ἔτι ἀθλιώτερον; δῆλον
would-be painful if but he-persuaded still more-wretched clear
γὰρ ὅτι κυβερνᾶν κατασταθεὶς ὁ μὴ ἐπιστάμενος ἢ
for that to-steer having-been-appointed he not knowing or
στρατηγεῖν ἀπολέσειεν ἂν οὓς ἥκιστα βούλοιτο καὶ
to-command would-destroy — those-whom least he-would-wish and
αὐτὸς αἰσχρῶς ἂν καὶ κακῶς ἀπαλλάξειεν.
himself shamefully — and badly would-come-off

4 ὡσαύτως δὲ καὶ τὸ πλούσιον καὶ τὸ ἀνδρεῖον καὶ
likewise and also the rich and the brave and
τὸ ἰσχυρὸν μὴ ὄντα δοκεῖν ἀλυσιτελὲς ἀπέφαινε·
the strong not being to-seem unprofitable he-showed
προστάττεσθαι γὰρ αὐτοῖς ἔφη μείζω ἢ κατὰ
to-be-assigned for to-them he-said greater-things than according-to
δύναμιν, καὶ μὴ δυναμένους ταῦτα ποιεῖν, δοκοῦντας
ability and not being-able these-things to-do seeming
ἱκανοὺς εἶναι, συγγνώμης οὐκ ἂν τυγχάνειν.
capable to-be of-pardon not — to-obtain

ἀπατεῶνα δ᾽ ἐκάλει οὐ μικρὸν μὲν οὐδ᾽ εἴ τις ἀργύριον
a-cheat and he-called not small indeed nor if someone money
ἢ σκεῦος παρά του πειθοῖ λαβὼν ἀποστεροίη, πολὺ
or vessel from someone by-persuasion having-received should-defraud by-far
δὲ μέγιστον ὅστις μηδενὸς ἄξιος ὢν ἐξηπατήκοι πείθων
but greatest whoever of-nothing worth being had-deceived persuading
ὡς ἱκανὸς εἴη τῆς πόλεως ἡγεῖσθαι. [ἐμοὶ μὲν οὖν
that capable he-was the city to-lead to-me indeed then
ἐδόκει καὶ τοῦ ἀλαζονεύεσθαι ἀποτρέπειν τοὺς συνόντας
he-seemed also from-the to-boast to-turn-away the associates
τοιάδε διαλεγόμενος.]
such-things conversing

BOOK II

I · THE CHOICE OF HERACLES

Socrates asks Aristippus how he would train one boy to rule and another never to seek rule; Aristippus wants neither ruling nor slavery but the free life of a stranger everywhere. Socrates shows that the weak are enslaved and that hardship borne willingly brings joy. He tells Prodicus' story: at the parting of the ways two women, Vice and Virtue, came to young Heracles, Vice promising easy pleasure and Virtue toil, honor, and lasting happiness.

[Ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς 1
He-seemed and to-me also such-things saying to-urge the
συνόντας ἀσκεῖν ἐγκράτειαν πρὸς ἐπιθυμίαν βρωτοῦ καὶ
associates to-practice self-control toward desire of-food and
ποτοῦ καὶ λαγνείας καὶ ὕπνου καὶ ῥίγους καὶ θάλπους καὶ
of-drink and of-lust and of-sleep and of-cold and of-heat and
πόνου.] γνοὺς δέ τινα τῶν συνόντων ἀκολαστοτέρως
of-toil having-learned and one of-the associates rather-intemperately
ἔχοντα [πρὸς τὰ τοιαῦτα]· Εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε,
being toward — such-things Tell me he-said O Aristippus
εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων,
if it-were-needful you to-educate having-taken-over two of-the young
τὸν μέν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δ', ὅπως μηδ'
the one so-that capable he-will-be to-rule the other so-that not-even
ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις; βούλει
he-will-lay-claim rule how — each would-you-educate do-you-wish
σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς ὥσπερ ἀπὸ τῶν
we-consider beginning from the nurture as from the
στοιχείων; καὶ ὁ Ἀρίστιππος ἔφη· Δοκεῖ γοῦν μοι ἡ τροφὴ
letters and — Aristippus said It-seems at-least to-me the nurture
ἀρχὴ εἶναι· οὐδὲ γὰρ ζῴη γ' ἄν τις, εἰ μὴ τρέφοιτο.
beginning to-be not-even for could-live at-least — anyone if not he-were-nourished

2 Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἥκῃ,
Therefore the indeed to-wish food to-touch when the-hour comes
ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι; Εἰκὸς γάρ, ἔφη. Τὸ οὖν
in-both likely to-be-present Likely for he-said The then
προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν ἢ τῇ γαστρὶ
to-choose the pressing-thing rather to-do than the belly
χαρίζεσθαι πότερον ἂν αὐτῶν ἐθίζοιμεν; Τὸν εἰς τὸ
to-gratify which-of-the-two — of-them would-we-accustom The-one for the
ἄρχειν, ἔφη, νὴ Δία παιδευόμενον, ὅπως μὴ τὰ τῆς
to-rule he-said by Zeus being-educated so-that not the-affairs of-the
πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. Οὐκοῦν,
city undone become during — his rule Therefore
ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα
he-said also when to-drink they-wish the to-be-able thirsting
ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; Πάνυ μὲν οὖν, ἔφη.
to-hold-out to-the same must-be-added Certainly indeed then he-said
3 Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ
The and of-sleep master to-be so-as to-be-able both late
κοιμηθῆναι καὶ πρῲ ἀναστῆναι καὶ ἀγρυπνῆσαι, εἴ τι
to-go-to-bed and early to-rise and to-stay-awake if at-all
δέοι, ποτέρῳ ἂν προσθείημεν; Καὶ τοῦτο, ἔφη, τῷ
it-were-needful to-which-of-the-two — would-we-add And this he-said to-the
αὐτῷ. Τί δέ, ἔφη, τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ
same What and he-said the of-sexual-pleasures master to-be so-as not
διὰ ταῦτα κωλύεσθαι πράττειν, εἴ τι δέοι; Καὶ
because-of these-things to-be-hindered to-act if at-all it-were-needful And
τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δέ; τὸ μὴ φεύγειν τοὺς πόνους,
this he-said to-the same What and the not to-flee the toils
ἀλλ' ἐθελοντὴν ὑπομένειν ποτέρῳ ἂν προσθείημεν;
but willingly to-endure to-which-of-the-two — would-we-add
Καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ. Τί δέ; τὸ
And this he-said to-the-one to-rule being-educated What and the

μαθεῖν, εἴ τι ἐπιτήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν
to-learn if any useful is study for the to-overcome the
ἀντιπάλων, ποτέρῳ ἂν προσθεῖναι μᾶλλον πρέποι;
opponents to-which-of-the-two — to-add rather would-it-befit
Πολὺ νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ· καὶ γὰρ
Much by Zeus he-said to-the-one to-rule being-educated also for
τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.
of-the others no use without — such studies
[Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ 4
Therefore he so educated less — seems to-you by
τῶν ἀντιπάλων ἢ τὰ λοιπὰ ζῷα ἁλίσκεσθαι; τούτων
the opponents than the other living-things to-be-caught of-these
γὰρ δήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια
for surely some indeed by-belly being-lured even very some
δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα
being-shy nevertheless by-the desire of-the to-eat being-led
πρὸς τὸ δέλεαρ ἁλίσκεται, τὰ δὲ ποτῷ ἐνεδρεύεται.
to the bait are-caught others and by-drink are-ambushed
Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας,
Certainly indeed then he-said Therefore also others by lust
οἷον οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες, πρὸς τὴν τῆς θηλείας
as the both quails and the partridges toward the of-the female
φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων
voice by-the desire and by-the hope of-the sexual-pleasures
φερόμενοι καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι
carried and losing-power of-the the dangers to-reckon
τοῖς θηράτροις ἐμπίπτουσι; Συνέφη καὶ ταῦτα.
into-the traps fall He-agreed also these-things
Οὐκοῦν δοκεῖ σοι αἰσχρὸν εἶναι ἀνθρώπῳ ταὐτὰ πάσχειν 5
Therefore seems to-you shameful to-be for-a-man the-same-things to-suffer
τοῖς ἀφρονεστάτοις τῶν θηρίων; ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται
as-the most-senseless of-the beasts as the adulterers enter

εἰς τὰς εἰρκτάς, εἰδότες ὅτι κίνδυνος τῷ μοιχεύοντι
into the enclosures knowing that danger for-the one-committing-adultery
ἅ τε ὁ νόμος ἀπειλεῖ παθεῖν καὶ ἐνεδρευθῆναι καὶ
the-things both the law threatens to-suffer and to-be-ambushed and
ληφθέντα ὑβρισθῆναι· καὶ τηλικούτων μὲν ἐπικειμένων
having-been-caught to-be-outraged and so-great indeed lying-upon
τῷ μοιχεύοντι κακῶν τε καὶ αἰσχρῶν, ὄντων δὲ πολλῶν
the adulterer evils both and shames being but many
τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων ἐπιθυμίας ἐν
of-the-things that-will-free from-the of-the sexual-pleasures desire in
ἀδείᾳ, ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι ἆρ᾽ οὐκ ἤδη
safety nevertheless into the dangerous-things to-rush then not already
τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστιν;
this altogether of-one-possessed is

6 Ἔμοιγε δοκεῖ, ἔφη. Τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας
To-me-at-least it-seems he-said The and to-be indeed the most-necessary
πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, οἷον τάς
most actions for-the men in the-open-air as the
τε πολεμικὰς καὶ τὰς γεωργικὰς καὶ τῶν ἄλλων οὐ
both warlike and the agricultural and of-the others not
τὰς ἐλαχίστας, τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός
the least the but many untrained to-be toward
τε ψύχη καὶ θάλπη οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι;
both colds and heats not seems to-you great negligence to-be
Συνέφη καὶ τοῦτο. Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν
He-agreed also this Therefore seems to-you the one-about to-rule
ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν;
to-train to-be-needful also these-things easily to-bear

7 Πάνυ μὲν οὖν, ἔφη.] Οὐκοῦν εἰ τοὺς † ἐγκρατεῖς τούτων
Certainly indeed then he-said Therefore if those (corrupt) self-controlled in-these
ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους
all among the fit-to-rule we-place those unable

ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησομένους τοῦ ἄρχειν
these-things to-do among those not-even going-to-lay-claim to-the to-rule
τάξομεν; Συνέφη καὶ τοῦτο. Τί οὖν; ἐπειδὴ καὶ τούτων
shall-we-place He-agreed also this What then since also of-these
ἑκατέρου τοῦ φύλου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπεσκέψω, εἰς
each of-the class the rank you-know already ever did-you-consider into
ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις;
which-of-the-two of-the ranks these yourself rightly — you-would-place
Ἔγωγ', ἔφη ὁ Ἀρίστιππος· καὶ οὐδαμῶς γε τάττω 8
I-at-least said — Aristippus and in-no-way at-least I-place
ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν. καὶ γὰρ
myself into the of-those to-rule wishing rank and for
πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τό, μεγάλου
very to-me it-seems of-a-senseless man to-be the great
ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ
task being the for-oneself the necessities to-provide not
ἀρκεῖν τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις
to-suffice this but to-take-on-in-addition the also for-the other
πολίταις ὧν δέονται πορίζειν· καὶ ἑαυτῷ μὲν πολλὰ
citizens what they-need to-supply and for-himself indeed many-things
ὧν βούλεται ἐλλείπειν, τῆς δὲ πόλεως προεστῶτα, ἐὰν
of-what he-wishes to-lack of-the but city standing-at-the-head if
μὴ πάντα ὅσα ἡ πόλις βούλεται καταπράττῃ, τούτου
not all-things as-many-as the city wishes he-accomplish for-this
δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί;
penalty to-undergo this how not great folly is
καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν ὥσπερ ἐγὼ 9
and for claim the cities the rulers as I
τοῖς οἰκέταις χρῆσθαι. ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας
the servants to-use I both for claim the attendants
ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ
for-me indeed abundant the necessities to-provide themselves but

μηδενὸς τούτων ἅπτεσθαι, αἵ τε πόλεις οἴονται χρῆναι
nothing of-these to-touch the both cities think it-is-needful
τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν,
the rulers for-themselves indeed as most good-things to-provide
αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. ἐγὼ οὖν τοὺς
themselves but all these-things to-abstain-from I then those
μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτούς τε καὶ
indeed wishing many troubles to-have themselves both and
ἄλλοις παρέχειν οὕτως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς
to-others to-provide thus — having-educated into the fit-to-rule
καταστήσαιμι· ἐμαυτόν γε μέντοι τάττω εἰς τοὺς
I-would-set myself at-least however I-place among those
βουλομένους ᾗ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν.
wishing in-whatever-way most-easily both and most-pleasantly to-live
10 καὶ ὁ Σωκράτης ἔφη· Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα,
and — Socrates said Do-you-wish then also this we-consider
πότεροι ἥδιον ζῶσιν, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι;
which-of-the-two more-pleasantly live the rulers or the ruled
Πάνυ μὲν οὖν, ἔφη. Πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν
Certainly indeed then he-said First indeed then of-the nations
ὧν ἡμεῖς ἴσμεν ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν,
which we know in indeed — Asia Persians indeed rule
ἄρχονται δὲ Σύροι καὶ Φρύγες καὶ Λυδοί· ἐν δὲ τῇ
are-ruled but Syrians and Phrygians and Lydians in and —
Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται·
Europe Scythians indeed rule Maeotians and are-ruled
ἐν δὲ τῇ Λιβύῃ Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ
in and — Libya Carthaginians indeed rule Libyans and
ἄρχονται. τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν;
are-ruled of-these then which-of-the-two more-pleasantly do-you-think to-live

ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ, πότεροί σοι
or of-the Greeks among whom also yourself you-are which-of-the-two to-you
δοκοῦσιν ἥδιον, οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι, ζῆν;
seem more-pleasantly those prevailing or those prevailed-over to-live
Ἀλλ' ἐγώ τοι, ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν 11
But I surely said — Aristippus not-even into the slavery
ἐμαυτὸν τάττω, ἀλλ' εἶναί τίς μοι δοκεῖ μέση τούτων ὁδός,
myself place but to-be some to-me it-seems middle of-these road
ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς οὔτε διὰ δουλείας,
which I-try to-walk neither through rule nor through slavery
ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει.
but through freedom which most to happiness leads
Ἀλλ' εἰ μέν, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι' ἀρχῆς 12
But if indeed said — Socrates as neither through rule
οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ
nor through slavery the road this leads so not-even
δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέντοι ἐν
through men perhaps — something you-would-say if however among
ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσεις μήτε ἄρχεσθαι μηδὲ
men being neither to-rule you-will-deign nor to-be-ruled nor
τοὺς ἄρχοντας ἑκὼν θεραπεύσεις, οἶμαί σε ὁρᾶν, ὡς
the rulers willingly will-serve I-think you to-see how
ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας καὶ κοινῇ καὶ
know-how the stronger the weaker both in-common and
ἰδίᾳ κλάοντας καθιστάντες δούλοις χρῆσθαι.
privately wailing setting-down as-slaves to-use
ἢ λανθάνουσί σε οἱ ἄλλων σπειράντων καὶ φυτευσάντων 13
or escape-the-notice-of you those of-others having-sown and having-planted
τόν τε σῖτον τέμνοντες καὶ δενδροκοποῦντες καὶ πάντα
the both grain cutting and cutting-down-trees and in-every
τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας
way besieging the weaker and not willing

θεραπεύειν, ἕως ἂν πείσωσιν ἑλέσθαι δουλεύειν ἀντὶ
to-serve until — they-persuade to-choose to-be-slaves instead-of
τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι
the to-make-war with-the stronger and privately in-turn the brave
καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα
and powerful the unmanly and powerless not you-know
ὅτι καταδουλωσάμενοι καρποῦνται; Ἀλλ' ἐγώ τοι, ἔφη,
that having-enslaved they-reap-the-fruits But I surely he-said
ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν
so-that not I-suffer these-things not-even into a-citizenship myself
κατακλείω, ἀλλὰ ξένος πανταχοῦ εἰμι.
I-shut-up but a-stranger everywhere I-am

14 καὶ ὁ Σωκράτης ἔφη· Τοῦτο μέντοι ἤδη λέγεις δεινὸν
and — Socrates said This indeed now you-say a-clever
πάλαισμα. τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίνις καὶ
wrestling-trick the for strangers from which-time — both Sinis and
ὁ Σκείρων καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι
— Sciron and — Procrustes died no-one any-longer
ἀδικεῖ; ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι καὶ
wrongs but now those indeed taking-part-in-politics in their fatherlands both
νόμους τίθενται, ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς
laws make so-that not they-be-wronged and friends in-addition-to
τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθούς,
the necessary so-called others acquire as-helpers
καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα
and around-the cities walls they-throw and arms
κτῶνται οἷς ἀμύνονται τοὺς ἀδικοῦντας, καὶ πρὸς
acquire with-which they-ward-off those doing-wrong and in-addition-to
τούτοις ἄλλους ἔξωθεν συμμάχους κατασκευάζονται, καὶ
these others from-outside allies they-provide and
οἱ μὲν ταῦτα πάντα κεκτημένοι ὅμως ἀδικοῦνται,
they indeed these-things all having-acquired nevertheless are-wronged

σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα 15
you and none indeed of-these having in and the roads where
πλεῖστοι ἀδικοῦνται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν
most are-wronged much time spending into whatever
δ' ἂν πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὤν,
and — city you-come than-the citizens all weaker being
καὶ τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι
and such as-those-whom most attack those wishing
ἀδικεῖν, ὅμως διὰ τὸ ξένος εἶναι οὐκ ἂν οἴει
to-do-wrong nevertheless because-of the a-stranger to-be not — do-you-think
ἀδικηθῆναι; ἢ διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν
to-be-wronged is-it because the cities to-you proclaim safety
καὶ προσιόντι καὶ ἀπιόντι, θαρρεῖς; ἢ διότι καὶ δοῦλος
both coming and going you-are-confident or because even a-slave
ἂν οἴει τοιοῦτος εἶναι οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν;
— you-think such to-be as for-no master to-be-profitable
τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν πονεῖν μὲν
who for — would-wish a-man in house to-have to-toil indeed
μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα;
nothing wishing in-the but most-costly living delighting
σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις 16
let-us-consider and also this how the masters — such
οἰκέταις χρῶνται. ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ
servants use then not the indeed lust of-them by-the hunger
σωφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν ἀποκλείοντες ὅθεν ἄν
they-chasten to-steal but they-prevent locking-up whence —
τι λαβεῖν ᾖ; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι;
anything to-take it-be-possible the and to-run-away with-bonds they-restrain
τὴν ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν; ἢ σὺ πῶς ποιεῖς,
the idleness and with-blows they-drive-out or you how do-you-do
ὅταν τῶν οἰκετῶν τινα τοιοῦτον ὄντα καταμανθάνῃς;
when of-the servants someone such being you-discover

17 Κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω.
I-punish he-said with-all evils until — to-be-a-slave I-compel
ἀλλὰ γάρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην
but for O Socrates those for the kingly art
παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν
being-educated which you-seem to-me you to-think happiness
εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων,
to-be what do-they-differ from-those from necessity suffering-hardship
εἴ γε πεινήσουσι καὶ διψήσουσι καὶ ῥιγώσουσι καὶ
if at-least they-will-hunger and will-thirst and will-be-cold and
ἀγρυπνήσουσι καὶ τἆλλα πάντα μοχθήσουσιν ἑκόντες; ἐγὼ
will-lie-awake and the-other all-things will-toil willingly I
μὲν γὰρ οὐκ οἶδ' ὅ τι διαφέρει τὸ αὐτὸ δέρμα ἑκόντα
indeed for not know what ever differs the same skin willingly
ἢ ἄκοντα μαστιγοῦσθαι [ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς
or unwillingly to-be-flogged or wholly the same body with-all —
τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι] ἄλλο γε ἢ
such-things willingly or unwillingly to-be-besieged other at-least than
ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν.
folly is-attached to-the one-willing the painful-things to-endure

18 Τί δέ, ὦ Ἀρίστιππε; ὁ Σωκράτης ἔφη, οὐ δοκεῖ σοι
What and O Aristippus — Socrates said not seems to-you
τῶν τοιούτων διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ᾗ
— of-such-things to-differ the willing-things from-the unwilling in-that
ὁ μὲν ἑκὼν πεινῶν φάγοι ἂν ὁπότε βούλοιτο καὶ ὁ
he indeed willingly hungering could-eat — whenever he-wished and he
ἑκὼν διψῶν πίοι καὶ τἆλλα ὡσαύτως, τῷ δ' ἐξ
willingly thirsting could-drink and the-other-things likewise for-the but from
ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν ὁπόταν βούληται
necessity these-things suffering not it-is-possible whenever he-wishes
παύεσθαι; ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ
to-stop then he indeed willingly suffering-hardship on good

ἐλπίδι πονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες
hope toiling is-cheered as those the beasts hunting
ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι·
in-hope of-the to-catch gladly toil
καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά 19
and — indeed such prizes of-the toils of-little some worth
ἐστι, τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται,
are those but toiling so-that friends good they-may-acquire
ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ γενόμενοι
or so-that enemies they-may-subdue or so-that powerful becoming
καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καὶ τὸν ἑαυτῶν οἶκον
both in-the bodies and in-the souls both — of-themselves household
καλῶς οἰκῶσι καὶ τοὺς φίλους εὖ ποιῶσι καὶ τὴν
well they-may-manage and the friends well they-may-treat and the
πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους
fatherland they-may-benefit how not to-think is-it-needful these
καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα καὶ ζῆν εὐφραινομένους,
both to-toil gladly for — such-things and to-live cheered
ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους
admiring indeed themselves praised and and envied
ὑπὸ τῶν ἄλλων;
by the others
ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα 20
further and the indeed easy-ways and of the moment
ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι,
pleasures neither for-the-body good-condition able are to-produce
ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον
as say the trainers nor for-the-soul knowledge worth-mention
οὐδεμίαν ἐμποιοῦσιν, αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν
any implant the but through endurance pursuits of-the

καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασιν
fine both and-good deeds to-attain make as say
οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος·
the good men says and somewhere also Hesiod

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
— indeed for wickedness even in-a-throng it-is-possible to-choose
ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
easily smooth indeed the-road very and near she-dwells
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
of-the but virtue sweat the-gods before placed
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
immortal long and and steep the-path to it
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
and rough at-the first when but to the-top you-come
ῥηιδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.
easy indeed thereafter it-is hard though being

μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·
bears-witness and also Epicharmus in this

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.
For-the toils sell to-us all the-good-things the gods

καὶ ἐν ἄλλῳ δὲ [τόπῳ φησίν]·
and in other and place he-says

Ὦ πονηρέ, μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς.
O wretch not the soft-things seek lest the hard-things you-get

καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ 21
and Prodicus also the wise in the treatise the about
Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως
Heracles which indeed also to-very-many he-displays likewise
περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα
about the virtue declares thus somehow saying as-much-as
ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων
I remember he-says for Heracles when from boyhood
εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες
to youth he-was-setting-out in which the young now their-own-masters
γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τρέψονται
becoming show whether the through virtue road they-will-turn
ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν
to the life or the through vice going-out into quiet
καθῆσθαι ἀποροῦντα ποτέραν τῶν ὁδῶν τράπηται·
to-sit being-at-a-loss which-of-the-two of-the roads he-should-turn
καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν 22
and to-appear to-him two women to-approach tall the indeed
ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην
one comely both to-see and free by-nature adorned
τὸ μὲν χρῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ
the indeed complexion with-purity the and eyes with-modesty the
δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δ᾽ ἑτέραν
and figure with-temperance in-dress and white the but other
τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα,
nurtured indeed to plumpness both and softness
κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα ὥστε λευκοτέραν
made-up and the indeed complexion so-as whiter
τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ
both and ruddier than-the truth to-seem to-appear the
δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι,
and figure so-as to-seem straighter than-the nature to-be

τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς
the and eyes to-have wide-open dress and from which
ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ
— most the youthful-bloom might-shine-through to-look-at and
θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν
often herself to-watch and also if anyone else her
θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.
gazes-at often and also at — of-herself shadow to-glance

23 ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν
when and they-came nearer — to-Heracles the indeed
πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δ' ἑτέραν
first mentioned to-go-on the same way the but other
φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν·
to-get-ahead wishing to-run-up — to-Heracles and to-say
Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον
I-see you O Heracles being-at-a-loss what-sort road to the life
τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιησάμενος, [ἐπὶ] τὴν ἡδίστην
you-should-turn if then me a-friend having-made to the most-pleasant
τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς
both and easiest road I-will-lead you and of-the indeed delights of-none
ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβίωσει.
untasting you-will-be of-the but hardships inexperienced you-will-live-through

24 πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς,
first indeed for not of-wars nor of-affairs will-you-think
ἀλλὰ σκοπούμενος † διέσει τί ἂν κεχαρισμένον
but considering (corrupt) you-will-pass-through what — agreeable
ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας
or food or drink you-might-find or what — having-seen or having-heard
τερφθείης ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος
you-might-be-delighted or what smelling or touching
ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν
you-might-be-pleased with-what and darlings consorting most —

εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ
you-might-be-cheered and how — most-softly you-might-sleep and
πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις.
how — most-effortlessly these all you-might-obtain
ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν 25
if and ever arise any suspicion of-scarcity from which
ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα
will-be these-things not fear lest you I-lead to the toiling
καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα
and suffering-hardship in-the body and in-the soul these-things
πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ
to-procure but what — the others work these you
χρήσει, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι
will-use from-nothing abstaining whence — possible it-be anything
κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν
to-gain from-everywhere for to-be-benefited to-those me consorting-with
ἐξουσίαν ἐγὼ παρέχω.
liberty I provide
καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· Ὦ γύναι, ἔφη, ὄνομα δέ 26
and — Heracles having-heard these-things O lady he-said name and
σοι τί ἐστιν; ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί
to-you what is she and — indeed my friends she-said call
με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με [ὑποκοριζόμενοι]
me Happiness those and hating me nicknaming
ὀνομάζουσι Κακίαν.
name Vice
καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ 27
and in this the other woman having-approached said Also I
ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ
come to you O Heracles knowing those having-begotten you and
τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν

ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν
I-hope if the to me road you-should-turn very-much — you of-the
καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι καὶ ἐμὲ ἔτι
fine-things and august good worker to-become and me still
πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι.
much more-honored and for good-things more-distinguished to-appear
οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ
not I-will-deceive and you with-preludes of-pleasure but in-the-way-that
οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας.
the gods ordained the-things being I-will-relate with truth
28 τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ
of-the for being good-things and fine-things nothing without toil and
ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς
care the gods give to-men but whether the
θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε
gods gracious to-be to-you you-wish you-must-serve the gods or
ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον,
by friends you-wish to-be-loved the friends you-must-benefit
εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν
or by some city you-desire to-be-honored the city
ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ
you-must-help or by — Greece all you-think-fit for virtue
θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν
to-be-admired — Greece you-must-try well to-treat or the-earth
βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον,
you-wish for-you fruits abundant to-bear the earth you-must-tend
εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν
or from flocks you-think it-is-needful to-be-enriched the
βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς
flocks you-must-care-for or through war you-are-eager
αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν
to-grow and you-wish to-be-able the both friends to-free

καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς
and the enemies to-subdue the warlike arts themselves
τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως αὐταῖς
both from those knowing-them you-must-learn and how them
δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει
it-is-needful to-use you-must-practice if and also in-the body you-wish
δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ
able to-be to-the mind to-be-subservient you-must-accustom the
σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.
body and you-must-train with toils and sweat
καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος· 29
and — Vice interrupting said as says Prodicus
Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν
Do-you-perceive O Heracles how hard and long a-road
ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ
to the enjoyments the woman to-you this describes I but
ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.
easy and short road to the happiness will-lead you
καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ 30
and — Virtue said O wretch what and you good have or
τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα;
what pleasant know nothing of-these for-the-sake to-do being-willing
ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ
who not-even the of-the pleasant-things desire wait-for but
πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν
before to-desire with-all-things fill-yourself before indeed to-be-hungry
ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα, ἵνα μὲν ἡδέως
eating before and to-be-thirsty drinking so-that indeed pleasantly
φάγῃς, ὀψοποιίας μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς,
you-may-eat cookeries contriving so-that and pleasantly you-may-drink
οἴνους τε πολυτελεῖς παρασκευάζει καὶ τοῦ θέρους χιόνα
wines both costly provide and in-the summer snow

περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον
running-about you-seek so-that and you-may-sleep pleasantly not only
τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ [τὰς κλίνας καὶ] τὰ
the bedclothes soft but also the couches and the
ὑπόβαθρα ταῖς κλίναις παρασκευάζει· οὐ γὰρ διὰ τὸ
supports for-the couches provide not for because-of the
πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς ὕπνου
to-toil but because-of the nothing to-have what ever you-may-do sleep
ἐπιθυμεῖς· τὰ δ' ἀφροδίσια πρὸ τοῦ δέεσθαι ἀναγκάζεις,
you-desire the and sexual-pleasures before the needing you-force
πάντα μηχανωμένη καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη·
all-things contriving and as-women the men using
οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους, τῆς μὲν νυκτὸς
so for you-educate — your-own friends the indeed by-night
ὑβρίζουσα, τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα.
outraging the but by-day the most-useful-part putting-to-sleep
31 ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ
immortal and being from gods indeed you-have-been-cast-out by and
ἀνθρώπων ἀγαθῶν ἀτιμάζει· τοῦ δὲ πάντων ἡδίστου
men good you-are-dishonored of-the and of-all most-pleasant
ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ
hearing praise of-yourself unhearing you-are and of-the
πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε
of-all most-pleasant sight unseeing nothing for ever
σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ
of-yourself work fine have-you-beheld who and — you saying
τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ
anything would-believe who and — needing anything would-assist or
τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ
who — well thinking — of-your band would-dare to-be who
νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ
young indeed being in-the bodies powerless are older and

γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ
having-become in-the souls senseless without-toil indeed sleek through
νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως
youth nourished laboriously but squalid through old-age
περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ
passing for-the indeed things-done ashamed by-the and
πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι
things-being-done weighed-down the indeed pleasant-things in the youth
διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.
having-run-through the but hard-things for the old-age having-laid-up
ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς 32
I and I-consort indeed with-gods I-consort and with-men the
ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτ' ἀνθρώπειον
good work and fine neither divine nor human
χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων
without me comes-about I-am-honored and most of-all
καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις οἷς προσήκει,
both among gods and among men to-whom it-is-fitting
ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων
beloved indeed fellow-worker to-craftsmen faithful and guardian of-houses
δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ
to-masters kindly and helper to-servants good and
συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν
partner of-the in peace toils steadfast and of-the in
πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.
war ally of-deeds best and of-friendship sharer
ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων 33
there-is and — indeed for-my friends pleasant indeed and untroubled
σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν
of-foods and of-drinks enjoyment they-wait for until —
ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων

ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται
than to-the toil-free and neither leaving it are-they-vexed
οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ
nor because-of this do-they-neglect the needful-things to-do and
οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν,
the indeed young in-the of-the elders praises delight
οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ
the and older in-the of-the young honors exult and
ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς
pleasantly indeed the old deeds remember well and the
παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς
present they-are-pleased doing through me dear indeed to-gods
ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν· ὅταν δ'
being beloved and by-friends honored and by-fatherlands when and
ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται,
comes the destined end not with oblivion dishonored they-lie
ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι.
but with remembrance the always time hymned they-flourish
τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι
such-things to-you O child of-parents good Heracles it-is-possible
διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.
having-labored-through the most-blessed happiness to-possess
34 οὕτω πως † διώκει Πρόδικος τὴν ὑπ' Ἀρετῆς
so somehow (corrupt) pursues Prodicus the by Virtue
Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι
of-Heracles education he-adorned however the sentiments still
μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον,
with-more-magnificent words than I now for-you and then worth-while
ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ
O Aristippus these-things pondering to-try something also
τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.
of-the for the coming time of-the life to-think-about

went-mad he most having-prided-himself on the the of-the
θεῶν μηχανὰς ἐξηγεῖσθαι.
gods contrivances to-explain
ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον 7
that-one for saying indeed the same to-be fire both and sun
ἠγνόει, ὅτι τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν,
did-not-know that the indeed fire the men easily look-at
εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν, καὶ ὑπὸ
at but the sun not are-able to-look-directly and by
μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα
indeed the sun shone-upon the complexions darker
ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς οὔ· ἠγνόει δὲ καί, ὅτι
they-have by but the fire not he-did-not-know and also that
τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν
of-the from the earth growing-things without indeed of-sun light nothing
δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα
can well grow by but the fire heated
πάντα ἀπόλλυται· φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον
all perish claiming and the sun a-stone red-hot
εἶναι καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν
to-be also this he-did-not-know that a-stone indeed in fire being
οὔτε λάμπει οὔτε πολὺν χρόνον ἀντέχει, ὁ δὲ ἥλιος τὸν
neither shines nor long time holds-out the but sun the
πάντα χρόνον πάντων λαμπρότατος ὢν διαμένει.
all time of-all brightest being remains
ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν. καὶ τούτων δὲ 8
he-bade and also calculations to-learn and of-these and
ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον
likewise to-the others he-bade to-guard-against the vain

πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς
labor up-to and the useful all-things also himself
συνεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι.
examined-together and went-through-together with-the associates
9 προύτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς
he-urged and strongly also health to-care-for the
συνόντας παρά τε τῶν εἰδότων μανθάνοντας, ὅσα
associates from both the knowing learning as-much-as
ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς
was-possible and to-himself each attending through all
τοῦ βίου, τί βρῶμα ἢ τί πῶμα ἢ ποῖος πόνος
the life what food or what drink or what-sort toil
συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ᾽
is-advantageous to-him and how these using most-healthily
ἂν διάγοι· τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ ἔργον
— he-might-live of-the for so attending to-himself a-task
ἔφη εἶναι εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα
he-said it-was to-find a-doctor the-things for health advantageous
αὐτῷ μᾶλλον διαγιγνώσκοντα [αὐτοῦ].
to-him more distinguishing than-himself
10 [Εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν
If and someone more than according-to the human wisdom
ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι.
to-be-benefited wished he-advised divination to-cultivate
τὸν γὰρ εἰδότα δι᾽ ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις
the-one for knowing through which the gods to-the men
περὶ τῶν πραγμάτων σημαίνουσιν οὐδέποτ᾽ ἔρημον ἔφη
about the affairs signify never bereft he-said
γίγνεσθαι συμβουλῆς θεῶν.
to-become of-counsel of-gods

Socrates' divine sign did not fail him: he was old, and died with courage and gentleness after thirty days lived as cheerfully as before. Hermogenes reports that the sign opposed his preparing a defense, since the god judged it better for him to die before old age. Xenophon ends by describing him as pious, just, self-controlled, prudent, and the best and happiest of men.

Εἰ δέ τις, ὅτι φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ 1
If and someone because claiming he the divine-sign to-himself
προσημαίνειν, ἃ τε δέοι καὶ ἃ μὴ δέοι
to-indicate-beforehand the-things both it-was-needful and what not it-was-needful
ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται
to-do by the jurors was-decreed death thinks
αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω
him to-be-convicted about the divine-sign lying let-him-consider
πρῶτον μέν, ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν,
first indeed that so already then far-along in-the age he-was
ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν
that if even not then not — much later to-have-ended the
βίον· εἶτα ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου καὶ ἐν ᾧ
life then that the indeed most-burdensome of-the life and in which
πάντες τὴν διάνοιαν μειοῦνται ἀπέλιπεν, ἀντὶ δὲ τούτου
all the mind are-diminished he-left instead-of and this
τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος εὔκλειαν προσεκτήσατο,
of-the soul the strength having-displayed good-fame he-acquired-besides
τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα καὶ
the both trial of-all men most-truthfully and
ἐλευθεριώτατα καὶ δικαιότατα εἰπὼν καὶ τὴν κατάγνωσιν
most-freely and most-justly having-spoken and the sentence
τοῦ θανάτου πραότατα καὶ ἀνδρωδέστατα ἐνεγκών.
of-the death most-gently and most-manfully having-borne

2 ὁμολογεῖται γὰρ οὐδένα πω τῶν μνημονευομένων
it-is-agreed for no-one yet of-the remembered
ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ
men more-finely death to-have-borne necessity indeed for
ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι
there-was for-him after the trial thirty days to-live
διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ
because-of the Delia indeed of-that — month to-be the and
νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνῄσκειν ἕως ἂν ἡ
law no-one to-allow publicly to-die until — the
θεωρία ἐκ Δήλου ἐπανέλθῃ, καὶ τὸν χρόνον τοῦτον
sacred-embassy from Delos return and the time this
ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον
to-all the intimates evident he-was in-nothing differently
διαβιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον· καίτοι τὸν ἔμπροσθέν
living than the former time and-yet the former
γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ
at-least of-all men most he-was-admired for the
εὐθύμως τε καὶ εὐκόλως ζῆν.
cheerfully both and contentedly to-live

3 καὶ πῶς ἄν τις κάλλιον ἢ οὕτως ἀποθάνοι; ἢ ποῖος
and how — anyone more-finely than so could-die or what-sort
ἂν εἴη θάνατος καλλίων ἢ ὃν κάλλιστά τις ἀποθάνοι;
— would-be death finer than what most-finely one could-die
ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ
what-sort and — might-be death happier than-the
καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου;
finest or what-sort dearer-to-the-gods than-the happiest

4 Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα περὶ
I-shall-tell and also what from-Hermogenes the son-of-Hipponicus I-heard about
αὐτοῦ. ἔφη γάρ, ἤδη Μελήτου γεγραμμένου αὐτὸν τὴν
him he-said for already Meletus having-indicted him the

γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον ἢ περὶ τῆς
indictment himself hearing him everything rather than about the
δίκης διαλεγομένου λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν, ὅ τι
trial conversing to-say to-him that it-was-needful to-consider what ever
ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν· Οὐ γὰρ δοκῶ
he-would-say-in-defense him and the indeed first to-say Not for do-I-seem
σοι τοῦτο μελετῶν διαβεβιωκέναι; ἐπεὶ δὲ αὐτὸν ἤρετο,
to-you this practicing to-have-lived when and him he-asked
ὅπως, εἰπεῖν αὐτόν, ὅτι οὐδὲν ἄλλο ποιῶν διαγεγένηται ἢ
how to-say him that nothing else doing he-had-spent-his-life than
διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων
examining indeed the both just-things and the unjust-things doing
δὲ τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος, ἥνπερ
and the just-things and from-the unjust-things abstaining which-very
νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι.
he-thought finest practice of-defense to-be
αὐτὸς δὲ πάλιν εἰπεῖν· Οὐχ ὁρᾷς, ὦ Σώκρατες, ὅτι οἱ 5
himself and again to-say Not do-you-see O Socrates that the
Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας
at-Athens jurors many indeed already nothing doing-wrong
λόγῳ παραχθέντες ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας
by-speech misled put-to-death many and doing-wrong
ἀπέλυσαν; Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτόν, ὦ Ἑρμόγενες,
acquitted But by — Zeus to-say him O Hermogenes
ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς
already me attempting to-think-about the toward the jurors
ἀπολογίας ἠναντιώθη τὸ δαιμόνιον.
defense opposed-it the divine-sign
καὶ αὐτὸς εἰπεῖν· Θαυμαστὰ λέγεις. τὸν δέ· Θαυμάζεις, 6
and himself to-say Marvelous-things you-say him and Do-you-wonder
φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι ἐμὲ τελευτᾶν τὸν
to-say if to-the god it-seems better to-be me to-end the

βίον ἤδη; οὐκ οἶσθ᾽ ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ
life now not you-know that up-to indeed this — time I
οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν οὔτε βέλτιον οὔθ᾽ ἥδιον
to-no-one of-men would-yield — neither better nor more-pleasantly
ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς μάλιστα
than-me to-have-lived best indeed for I-think to-live those most
ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ
taking-care of-the as best to-become most-pleasantly and
τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται.
those most perceiving that better they-become

7 ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ἠσθανόμην ἐμαυτῷ
which I up-to this — time perceived for-myself
συμβαίνοντα, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων καὶ
happening and with-the other men meeting and
πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτὸν οὕτω διατετέλεκα
against the others comparing myself so I-have-continued
περὶ ἐμαυτοῦ γιγνώσκων· καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ οἱ
about myself thinking and not only I but also —
ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν, οὐ διὰ
my friends so being-disposed about me continue not because-of
τὸ φιλεῖν ἐμέ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως
the to-love me and for those the others loving so
ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διόπερ
— would-have-been-disposed toward — their-own friends but because
καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι.
also themselves — think with-me being-with best to-become

8 εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται
if and I-shall-live more time perhaps necessary it-will-be
τὰ τοῦ γήρως ἐπιτελεῖσθαι καὶ ὁρᾶν τε καὶ ἀκούειν
the-things of-the old-age to-be-accomplished and to-see both and to-hear
ἧττον καὶ διανοεῖσθαι χεῖρον καὶ δυσμαθέστερον ἀποβαίνειν
less and to-think worse and slower-to-learn to-turn-out

καὶ ἐπιλησμονέστερον, καὶ ὧν πρότερον βελτίων ἦν,
and more-forgetful and than-what before better I-was
τούτων χείρω γίγνεσθαι· ἀλλὰ μὴν ταῦτά γε μὴ
than-these worse to-become but indeed these-things at-least not
αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον
perceiving indeed unlivable — would-be the life perceiving
δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἡδέστερον ζῆν;
but how not necessity worse both and more-unpleasantly to-live
ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως 9
but indeed if at-least unjustly I-shall-die for-those indeed unjustly
ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο· εἰ γὰρ τὸ
me having-killed shameful — would-be this if for the
ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως
to-do-wrong shameful is how not shameful also the unjustly
ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν τὸ ἑτέρους μὴ
anything-whatever to-do to-me but what shameful the others not
δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι;
to-be-able about me the just-things either to-recognize or to-do
ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων 10
I-see and I-at-least also the repute of-the bygone men
ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν
among the later not alike left of-the
τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δ' ὅτι
both having-done-wrong and of-those having-been-wronged I-know and that
καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν
also I attention will-obtain from men even if now
ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν· οἶδα γὰρ
I-die not alike to-those me having-killed I-know for
ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα
always they-will-bear-witness for-me that I wronged indeed no-one
πώποτε ἀνθρώπων οὐδὲ χείρω ἐποίησα, βελτίους δὲ ποιεῖν
ever of-men nor worse made better but to-make

ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. τοιαῦτα μὲν πρὸς
tried always those me associating-with such-things indeed with
Ἑρμογένη τε διελέχθη καὶ πρὸς τοὺς ἄλλους.]
Hermogenes both he-conversed and with the others
11 τῶν δὲ Σωκράτη γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς
of-those and Socrates knowing what-sort he-was those virtue
ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα
aiming-at all still even now continue of-all most
ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς
longing-for him as most-helpful being for of-virtue
ἐπιμέλειαν. ἐμοὶ μὲν δή, τοιοῦτος ὢν οἷον ἐγὼ διήγημαι,
cultivation to-me indeed truly such being as I have-described
εὐσεβὴς μὲν οὕτως ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν
pious indeed so that nothing without the of-the gods
γνώμης ποιεῖν, δίκαιος δὲ ὥστε βλάπτειν μὲν μηδὲ
judgment to-do just and so-as to-harm indeed not-even
μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους
little anyone to-benefit but the greatest-things those associating-with
αὐτῷ, ἐγκρατὴς δὲ ὥστε μηδέποτε προαιρεῖσθαι τὸ
him self-controlled and so-as never to-choose the
ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ ὥστε μὴ
more-pleasant instead-of the better prudent and so-as not
διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω μηδὲ ἄλλου
to-err judging the better and the worse nor other
προσδέεσθαι, ἀλλ' αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν,
to-need-besides but self-sufficient to-be for the of-these knowledge
ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα,
able and also by-word to-say both and to-define — such-things
ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντας
able and also others to-test both and erring
ἐλέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκαγαθίαν,
to-refute and to-urge toward virtue and nobility

ἐδόκει τοιοῦτος εἶναι οἷος ἂν εἴη ἄριστός τε ἀνὴρ
he-seemed such to-be as — would-be best both man
καὶ εὐδαιμονέστατος. [εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα,
and happiest if and to-anyone not pleases these-things
παραβάλλων τὸ ἄλλων ἦθος πρὸς ταῦτα οὕτω κρινέτω.]
comparing the of-others character with these-things so let-him-judge

XENOPHON

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ

Apology of Socrates

Xenophon writes to explain Socrates' lofty speech at his trial. Hermogenes saw him talking of everything but his defense and urged him to prepare; Socrates said his life had been his defense and that the divine sign twice opposed him. He had lived the best and happiest of lives, and the god perhaps granted him an easy death before old age.

Σωκράτους δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι καὶ ὡς 1
Of-Socrates and worth to-me it-seems to-be to-remember also how
ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην ἐβουλεύσατο περί τε τῆς
when he-was-summoned to the trial he-deliberated about both the
ἀπολογίας καὶ τῆς τελευτῆς τοῦ βίου. γεγράφασι μὲν οὖν
defense and the end of-the life have-written indeed then
περὶ τούτου καὶ ἄλλοι καὶ πάντες ἔτυχον τῆς μεγαληγορίας
about this also others and all have-hit-upon the lofty-speech
αὐτοῦ· ᾧ καὶ δῆλον ὅτι τῷ ὄντι οὕτως ἐρρήθη ὑπὸ
of-him by-which also clear that in reality so it-was-spoken by
Σωκράτους. ἀλλ' ὅτι ἤδη ἑαυτῷ ἡγεῖτο αἱρετώτερον
Socrates but that already for-himself he-thought more-desirable
εἶναι τοῦ βίου θάνατον, τοῦτο οὐ διεσαφήνισαν· ὥστε
to-be than-the life death this not they-made-clear so-that
ἀφρονεστέρα αὐτοῦ φαίνεται εἶναι ἡ μεγαληγορία.
rather-foolish of-him appears to-be the lofty-speech
Ἑρμογένης μέντοι ὁ Ἱπποτίκου ἑταῖρός τε ἦν αὐτῷ καὶ 2
Hermogenes however the son-of-Hipponicus companion both was to-him and
ἐξήγγειλε περὶ αὐτοῦ τοιαῦτα ὥστε πρέπουσαν φαίνεσθαι
reported about him such-things that fitting to-appear
τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. ἐκεῖνος γὰρ ἔφη
the lofty-speech of-him to-the intention he for said

ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον ἢ περὶ
seeing him about everything rather conversing than about
τῆς δίκης εἰπεῖν,
the trial to-say

3 Οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ τι
Not it-was-needful however to-consider O Socrates also what ever
ἀπολογήσει; τὸν δὲ τὸ μὲν πρῶτον ἀποκρίνασθαι, Οὐ
you-will-say-in-defense him and the indeed first to-answer Not
γὰρ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; ἐπεὶ
for do-I-seem to-you to-make-a-defense practicing to-have-lived when
δ' αὐτὸν ἐρέσθαι, Πῶς; Ὅτι οὐδὲν ἄδικον διαγεγένημαι
and him to-ask How Because nothing unjust I-have-continued
ποιῶν· ἥνπερ νομίζω μελέτην εἶναι καλλίστην ἀπολογίας.
doing which-very I-think practice to-be finest of-defense

4 ἐπεὶ δὲ αὐτὸν πάλιν λέγειν, Οὐχ ὁρᾷς τὰ Ἀθηναίων
when and him again to-say Not do-you-see the of-the-Athenians
δικαστήρια ὡς πολλάκις μὲν οὐδὲν ἀδικοῦντας λόγῳ
courts how often indeed nothing doing-wrong by-speech
παραχθέντες ἀπέκτειναν, πολλάκις δὲ ἀδικοῦντας ἢ ἐκ τοῦ
misled they-put-to-death often but doing-wrong either from the
λόγου οἰκτίσαντες ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν; Ἀλλὰ
speech pitying or charmingly speaking they-acquitted But
ναὶ μὰ Δία, φάναι αὐτόν, καὶ δὶς ἤδη ἐπιχειρήσαντός μου
yes by Zeus to-say him and twice already having-attempted me
σκοπεῖν περὶ τῆς ἀπολογίας ἐναντιοῦταί μοι τὸ δαιμόνιον.
to-consider about the defense opposes me the divine-sign

5 ὡς δὲ αὐτὸν εἰπεῖν, Θαυμαστὰ λέγεις, τὸν δ' αὖ
when and him to-say Marvelous-things you-say him and in-turn
ἀποκρίνασθαι, Ἦ θαυμαστὸν νομίζεις εἰ καὶ τῷ θεῷ
to-answer Truly marvelous do-you-think if also to-the god
δοκεῖ ἐμὲ βέλτιον εἶναι ἤδη τελευτᾶν; οὐκ οἶσθα ὅτι
it-seems me better to-be now to-die not you-know that

μέχρι μὲν τοῦδε οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν βέλτιον
up-to indeed this to-no-one of-men would-I-yield — better
ἐμοῦ βεβιωκέναι; ὅπερ γὰρ ἥδιστόν ἐστιν, ᾔδειν ὁσίως
than-me to-have-lived what-very for most-pleasant is I-knew piously
μοι καὶ δικαίως ἅπαντα τὸν βίον βεβιωμένον· ὥστε
by-me and justly all the life to-have-been-lived so-that
ἰσχυρῶς ἀγάμενος ἐμαυτὸν ταὐτὰ εὕρισκον καὶ τοὺς
strongly admiring myself the-same-things I-found and those
ἐμοὶ συγγιγνομένους γιγνώσκοντας περὶ ἐμοῦ.
me associating-with knowing about me
νῦν δὲ εἰ ἔτι προβήσεται ἡ ἡλικία, οἶδ' ὅτι ἀνάγκη ἔσται 6
now and if still advances the age I-know that necessity will-be
τὰ τοῦ γήρως ἀποτελεῖσθαι καὶ ὁρᾶν τε χεῖρον καὶ
the-things of-the old-age to-be-fulfilled and to-see both worse and
ἀκούειν ἧττον καὶ δυσμαθέστερον εἶναι καὶ ὧν ἔμαθον
to-hear less and slower-to-learn to-be and of-what I-learned
ἐπιλησμονέστερον. ἢν δὲ αἰσθάνωμαι χείρων γιγνόμενος
more-forgetful if and I-perceive worse becoming
καὶ καταμέμφωμαι ἐμαυτόν, πῶς ἄν, εἰπεῖν, ἐγὼ ἔτι ἂν
and I-blame myself how — to-say I still —
ἡδέως βιοτεύοιμι;
pleasantly could-live
ἴσως δέ τοι, φάναι αὐτόν, καὶ ὁ θεὸς δι' εὐμένειαν 7
perhaps and surely to-say him also the god through goodwill
προξενεῖ μοι οὐ μόνον τὸ ἐν καιρῷ τῆς ἡλικίας
provides for-me not only the in season of-the age
καταλῦσαι τὸν βίον, ἀλλὰ καὶ τὸ ᾗ ῥᾷστα. ἢν
to-end the life but also the in-what-way most-easily if
γὰρ νῦν κατακριθῇ μου, δῆλον ὅτι ἐξέσται μοι
for now sentence-is-passed against-me clear that it-will-be-possible for-me
τῇ τελευτῇ χρῆσθαι ᾗ ῥᾴστῃ μὲν ὑπὸ τῶν τούτου
the end to-use which most-easy indeed by those of-this

ἐπιμεληθέντων κέκριται, ἀπραγμονεστάτη δὲ τοῖς φίλοις,
taking-care has-been-judged least-troublesome and to-the friends
πλεῖστον δὲ πόθον ἐμποιοῦσα τοῦ τελευτῶντος. ὅταν
most and longing producing of-the dying-one whenever
γὰρ ἄσχημον μὲν μηδὲν μηδὲ δυσχερὲς ἐν ταῖς γνώμαις
for unseemly indeed nothing nor offensive in the minds
τῶν παρόντων καταλείπηται, ὑγιὲς δὲ τὸ σῶμα ἔχων
of-those present be-left healthy and the body having
καὶ τὴν ψυχὴν δυναμένην φιλοφρονεῖσθαι ἀπομαραίνηται,
and the soul able to-show-kindness be-wastes-away
πῶς οὐκ ἀνάγκη τοῦτον ποθεινὸν εἶναι;
how not necessity this-one longed-for to-be

8 ὀρθῶς δὲ οἱ θεοὶ τότε μου ἠναντιοῦντο, φάναι αὐτόν, τῇ
rightly and the gods then me opposed to-say him to-the
τοῦ λόγου ἐπισκέψει ὅτε ἐδόκει ἡμῖν ζητητέα εἶναι ἐκ
of-the speech examination when it-seemed to-us needing-to-be-sought to-be from
παντὸς τρόπου τὰ ἀποφευκτικά. εἰ γὰρ τοῦτο διεπραξάμην,
every way the means-of-acquittal if for this I-had-accomplished
δῆλον ὅτι ἡτοιμασάμην ἂν ἀντὶ τοῦ ἤδη λῆξαι τοῦ βίου
clear that I-would-have-prepared — instead-of the now to-cease from-the life
ἢ νόσοις ἀλγυνόμενος τελευτῆσαι ἢ γήρᾳ, εἰς ὃ πάντα
either by-diseases being-pained to-end or by-old-age into which all
τὰ χαλεπὰ συρρεῖ καὶ μάλα ἔρημα τῶν εὐφροσυνῶν.
the hardships flow-together and very bereft of-the cheerfulness

9 μὰ Δί', εἰπεῖν αὐτόν, ὦ Ἑρμόγενες, ἐγὼ ταῦτα οὐδὲ
By Zeus to-say him O Hermogenes I these-things not-even
προθυμήσομαι, ἀλλ' ὅσων νομίζω τετυχηκέναι καλῶν καὶ
will-be-eager-for but as-many-as I-think to-have-obtained goods both
παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἣν ἐγὼ δόξαν ἔχω
from gods and from men and which I opinion have
περὶ ἐμαυτοῦ, ταύτην ἀναφαίνων εἰ βαρύνω τοὺς δικαστάς,
about myself this displaying if I-burden the jurors

αἱρήσομαι τελευτᾶν μᾶλλον ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι
I-will-choose to-die rather than slavishly the to-live still
προσαιτῶν κερδᾶναι τὸν πολὺ χείρω βίον ἀντὶ θανάτου.
begging to-gain the much worse life instead-of death

II · THE DEFENSE

Socrates answers the charges: he sacrificed openly, and his divine voice is no stranger than omens. When the jurors protest, he tells them that the oracle at Delphi called him the freest, justest, and most temperate of men. He shows that he lived free, just, and wise, and that the young he influenced were not corrupted. Meletus says the young obey him over their parents; Socrates answers that in education, as in health, men obey the expert.

οὕτω δὲ γνόντα αὐτὸν ἔφη, ἐπειδὴ κατηγόρησαν αὐτοῦ 10
so and having-decided him he-said when they-accused him
οἱ ἀντίδικοι ὡς οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ
the opponents that whom indeed the city believes-in gods not
νομίζοι, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέροι καὶ τοὺς
he-believed-in other but new divinities he-introduced and the
νέους διαφθείροι, παρελθόντα εἰπεῖν,
young he-corrupted having-come-forward to-say
Ἀλλ' ἐγώ, ὦ ἄνδρες, τοῦτο μὲν πρῶτον θαυμάζω Μελήτου, 11
But I O men this indeed first marvel-at in-Meletus
ὅτῳ ποτὲ γνοὺς λέγει ὡς ἐγὼ οὓς ἡ πόλις νομίζει
by-what ever having-judged he-says that I whom the city believes-in
θεοὺς οὐ νομίζω· ἐπεὶ θύοντά γέ με ἐν ταῖς κοιναῖς
gods not believe-in since sacrificing at-least me in the common
ἑορταῖς καὶ ἐπὶ τῶν δημοσίων βωμῶν καὶ οἱ ἄλλοι οἱ
festivals and at the public altars both the others those
παρατυγχάνοντες ἑώρων καὶ αὐτὸς Μέλητος, εἰ ἠβούλετο.
happening-by saw and himself Meletus if he-wished

12 καινά γε μὴν δαιμόνια πῶς ἂν ἐγὼ εἰσφέροιμι
new at-least moreover divinities how — I could-introduce
λέγων ὅτι θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα ὅ τι
saying that of-god to-me a-voice appears signifying what ever
χρὴ ποιεῖν; καὶ γὰρ οἱ φθόγγοις οἰωνῶν καὶ οἱ
it-is-needful to-do and for those with-cries of-birds and those
φήμαις ἀνθρώπων χρώμενοι φωναῖς δήπου τεκμαίρονται.
with-utterances of-men using by-voices surely judge
βροντὰς δὲ ἀμφιλέξει τις ἢ μὴ φωνεῖν ἢ μὴ μέγιστον
thunders and will-dispute anyone either not to-speak or not greatest
οἰωνιστήριον εἶναι; ἡ δὲ Πυθοῖ ἐν τῷ τρίποδι ἱέρεια οὐ
omen to-be the and at-Pytho on the tripod priestess not
καὶ αὐτὴ φωνῇ τὰ παρὰ τοῦ θεοῦ διαγγέλλει;
also herself by-voice the-things from the god announces
13 ἀλλὰ μέντοι καὶ τὸ προειδέναι γε τὸν θεὸν τὸ μέλλον, καὶ
but however also the to-foreknow at-least the god the future and
τὸ προσημαίνειν ᾧ βούλεται, καὶ τοῦτο, ὥσπερ ἐγώ φημι,
the to-signify-beforehand to-whom he-wishes also this as I say
οὕτω πάντες καὶ λέγουσι καὶ νομίζουσιν. ἀλλ᾽ οἱ μὲν οἰωνούς
so all both say and believe but they indeed birds
τε καὶ φήμας καὶ συμβόλους τε καὶ μάντεις ὀνομάζουσι τοὺς
both and utterances and chance-meetings both and seers name the
προσημαίνοντας εἶναι, ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ, καὶ
ones-signifying to-be I but this divine-sign call and
οἶμαι οὕτως ὀνομάζων καὶ ἀληθέστερα καὶ ὁσιώτερα λέγειν
I-think so naming both truer-things and holier-things to-say
τῶν τοῖς ὄρνισιν ἀνατιθέντων τὴν τῶν θεῶν δύναμιν.
than-those to-the birds attributing the of-the gods power
ὥς γε μὴν οὐ ψεύδομαι κατὰ τοῦ θεοῦ καὶ τοῦτ᾽ ἔχω
that at-least moreover not I-lie against the god also this I-have

τεκμήριον· καὶ γὰρ τῶν φίλων πολλοῖς δὴ ἐξαγγείλας τὰ
proof and for of-the friends to-many indeed having-reported the
τοῦ θεοῦ συμβουλεύματα οὐδεπώποτε ψευσάμενος ἐφάνην.
of-the god counsels never lying I-was-shown
ἐπεὶ δὲ ταῦτ' ἀκούοντες οἱ δικασταὶ ἐθορύβουν, οἱ μὲν 14
when and these-things hearing the jurors were-in-uproar the indeed
ἀπιστοῦντες τοῖς λεγομένοις, οἱ δὲ καὶ φθονοῦντες,
disbelieving the-things said the-others and even envying
εἰ καὶ παρὰ θεῶν μειζόνων ἢ αὐτοὶ τυγχάνοι, πάλιν
if even from gods greater than they he-obtained again
εἰπεῖν τὸν Σωκράτην, Ἄγε δὴ ἀκούσατε καὶ ἄλλα,
to-say — Socrates Come indeed hear also other-things
ἵνα ἔτι μᾶλλον οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι τῷ
so-that still more those wishing of-you may-disbelieve the
ἐμὲ τετιμῆσθαι ὑπὸ δαιμόνων. Χαιρεφῶντος γάρ ποτε
me to-have-been-honored by divinities Chaerephon for once
ἐπερωτῶντος ἐν Δελφοῖς περὶ ἐμοῦ πολλῶν παρόντων
inquiring at Delphi about me many being-present
ἀνεῖλεν ὁ Ἀπόλλων μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε
answered — Apollo no-one to-be of-men than-me either
ἐλευθεριώτερον μήτε δικαιότερον μήτε σωφρονέστερον.
more-free or more-just or more-temperate
ὡς δ' αὖ ταῦτ' ἀκούσαντες οἱ δικασταὶ ἔτι μᾶλλον 15
when and in-turn these-things having-heard the jurors still more
εἰκότως ἐθορύβουν, αὖθις εἰπεῖν τὸν Σωκράτην, Ἀλλὰ
reasonably were-in-uproar again to-say — Socrates But
μείζω μέν, ὦ ἄνδρες, εἶπεν ὁ θεὸς ἐν χρησμοῖς περὶ
greater-things indeed O men said the god in oracles about
Λυκούργου τοῦ Λακεδαιμονίοις νομοθετήσαντος ἢ περὶ
Lycurgus the for-the-Lacedaemonians having-given-laws than about
ἐμοῦ. λέγεται γὰρ εἰς τὸν ναὸν εἰσιόντα προσειπεῖν
me it-is-said for into the temple entering to-have-addressed

αὐτόν, Φροντίζω πότερα θεόν σε εἴπω ἢ ἄνθρωπον.
him I-ponder whether god you I-should-call or man
ἐμὲ δὲ θεῷ μὲν οὐκ εἴκασεν, ἀνθρώπων δὲ πολλῷ
me but to-a-god indeed not he-likened of-men but by-far
προέκρινεν ὑπερφέρειν. ὅμως δὲ ὑμεῖς μηδὲ ταῦτα
he-judged to-surpass nevertheless but you not-even these-things
εἰκῇ πιστεύσητε τῷ θεῷ, ἀλλὰ καθ' ἓν ἕκαστον
at-random believe the god but by one each
ἐπισκοπεῖτε ὧν εἶπεν ὁ θεός.
examine of-what said the god

16 τίνα μὲν γὰρ ἐπίστασθε ἧττον ἐμοῦ δουλεύοντα ταῖς τοῦ
whom indeed for do-you-know less than-me enslaved to-the of-the
σώματος ἐπιθυμίαις; τίνα δὲ ἀνθρώπων ἐλευθεριώτερον, ὃς
body desires whom and of-men more-free who
παρ' οὐδενὸς οὔτε δῶρα οὔτε μισθὸν δέχομαι; δικαιότερον
from no-one either gifts or pay accept more-just
δὲ τίνα ἂν εἰκότως νομίσαιτε τοῦ πρὸς τὰ παρόντα
and whom — reasonably could-you-think than-the-one to the present-things
συνηρμοσμένου, ὡς τῶν ἀλλοτρίων μηδενὸς προσδεῖσθαι;
adapted so-as of-the others' nothing to-need
σοφὸν δὲ πῶς οὐκ ἄν τις εἰκότως ἄνδρα φήσειεν εἶναι ὃς
wise and how not — anyone reasonably a-man would-say to-be who
ἐξ ὅτουπερ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην οὐπώποτε
since when-ever to-understand the-things spoken I-began never
διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ τι ἐδυνάμην ἀγαθόν;
ceased both seeking and learning what ever I-could good

17 ὡς δὲ οὐ μάτην ἐπόνουν οὐ δοκεῖ ὑμῖν καὶ τάδε
that and not in-vain I-toiled not seems to-you also these
τεκμήρια εἶναι, τὸ πολλοὺς μὲν πολίτας τῶν ἀρετῆς
proofs to-be the many indeed citizens of-those virtue
ἐφιεμένων, πολλοὺς δὲ ξένων, ἐκ πάντων προαιρεῖσθαι
aiming-at many and of-strangers from all-places to-choose

ἐμοὶ ξυνεῖναι; ἐκείνου δὲ τί φήσομεν αἴτιον εἶναι, τοῦ
with-me to-associate of-that and what shall-we-say cause to-be of-the
πάντας [μὲν] εἰδέναι ὅτι ἐγὼ ἥκιστ' ἂν ἔχοιμι χρήματα
all indeed to-know that I least — could money
ἀντιδιδόναι, ὅμως [δὲ] πολλοὺς ἐπιθυμεῖν ἐμοί τι
pay-in-return nevertheless but many to-desire to-me something
δωρεῖσθαι; τὸ δ' ἐμὲ μὲν μηδ' ὑφ' ἑνὸς αἰτεῖσθαι
to-give the and me indeed not-even by one to-be-asked-for
εὐεργεσίαν, ἐμοὶ δὲ πολλοὺς ὁμολογεῖν χάριτας ὀφείλειν;
a-favor-repaid to-me but many to-acknowledge gratitude to-owe
τὸ δ' ἐν τῇ πολιορκίᾳ τοὺς μὲν ἄλλους οἰκτείρειν 18
the and in the siege the indeed others to-pity
ἑαυτούς, ἐμὲ δὲ μηδὲν ἀπορώτερον διάγειν ἢ ὅτε τὰ
themselves me but in-nothing more-needy to-live than when the
μάλιστα ἡ πόλις εὐδαιμονεῖ; τὸ δὲ τοὺς ἄλλους μὲν
most the city prospers the and the others indeed
τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς πορίζεσθαι,
the comforts from the market costly to-procure
ἐμὲ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους ἐκείνων
me but from the soul without expense more-pleasant than-those
μηχανᾶσθαι; εἴ γε μὴν ὅσα εἴρηκα περὶ ἐμαυτοῦ,
to-contrive if at-least moreover as-many-as I-have-said about myself
μηδεὶς δύναιτ' ἂν ἐξελέγξαι με ὡς ψεύδομαι, πῶς οὐκ ἂν
no-one could — refute me that I-lie how not —
ἤδη δικαίως καὶ ὑπὸ θεῶν καὶ ὑπ' ἀνθρώπων ἐπαινοίμην;
already justly both by gods and by men would-I-be-praised
ἀλλ' ὅμως σύ με φής, ὦ Μέλητε, τοιαῦτα ἐπιτηδεύοντα 19
but nevertheless you me say O Meletus such-things practicing
τοὺς νέους διαφθείρειν; καίτοι ἐπιστάμεθα μὲν δήπου
the young to-corrupt and-yet we-know indeed surely
τίνες εἰσὶ νέων διαφθοραί· σὺ δὲ εἰπὲ εἴ τινα οἶσθα
what are of-the-young corruptions you but tell if anyone you-know

ὑπ᾽ ἐμοῦ γεγενημένον ἢ ἐξ εὐσεβοῦς ἀνόσιον ἢ ἐκ
by me having-become either from pious impious or from
σώφρονος ὑβριστὴν ἢ ἐξ εὐδιαίτου πολυδάπανον ἢ ἐκ
temperate insolent or from frugal extravagant or from
μετριοπότου οἰνόφλυγα ἢ ἐκ φιλοπόνου μαλακὸν ἢ ἄλλης
moderate-drinking a-drunkard or from industrious soft or by-other
πονηρᾶς ἡδονῆς ἡττημένον.
wicked pleasure overcome
20 Ἀλλὰ ναὶ μὰ Δί᾽, ἔφη ὁ Μέλητος, ἐκείνους οἶδα οὓς
But yes by Zeus said — Meletus those I-know whom
σὺ πέπεικας σοὶ πείθεσθαι μᾶλλον ἢ τοῖς γειναμένοις.
you have-persuaded you to-obey rather than the parents
Ὁμολογῶ, φάναι τὸν Σωκράτην, περί γε παιδείας·
I-agree to-say — Socrates about at-least education
τοῦτο γὰρ ἴσασιν ἐμοὶ μεμεληκός. περὶ δὲ ὑγιείας τοῖς
this for they-know to-me having-been-a-concern about and health the
ἰατροῖς μᾶλλον οἱ ἄνθρωποι πείθονται ἢ τοῖς γονεῦσι·
doctors rather the men obey than the parents
καὶ ἐν ταῖς ἐκκλησίαις γε πάντως οἱ Ἀθηναῖοι πάντες
and in the assemblies at-least altogether the Athenians all
δήπου τοῖς φρονιμώτατα λέγουσι πείθονται μᾶλλον ἢ
surely those most-sensibly speaking obey rather than
τοῖς προσήκουσιν. οὐ γὰρ δὴ καὶ στρατηγοὺς αἱρεῖσθε
the relatives not for indeed also generals you-choose
καὶ πρὸ πατέρων καὶ πρὸ ἀδελφῶν, καὶ ναὶ μὰ Δία
both before fathers and before brothers and yes by Zeus
γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, οὓς ἂν ἡγῆσθε περὶ τῶν
at-least you before you yourselves whom — you-think about the
πολεμικῶν φρονιμωτάτους εἶναι; Οὕτω γάρ, φάναι τὸν
matters-of-war most-sensible to-be So for to-say —
Μέλητον, ὦ Σώκρατες, καὶ συμφέρει καὶ νομίζεται.
Meletus O Socrates both is-advantageous and is-customary

Οὔκουν, εἰπεῖν τὸν Σωκράτην, θαυμαστὸν καὶ τοῦτό 21
Not-then to-say — Socrates marvelous also this
σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι μὴ
to-you seems to-be the in indeed the other affairs not
μόνον ἰσομοιρίας τυγχάνειν τοὺς κρατίστους, ἀλλὰ καὶ
only equal-share to-obtain the best but even
προτετιμῆσθαι, ἐμὲ δέ, ὅτι περὶ τοῦ μεγίστου ἀγαθοῦ
to-be-preferred me but because about the greatest good
ἀνθρώποις, περὶ παιδείας, βέλτιστος εἶναι ὑπό τινων
for-men about education best to-be by some
προκρίνομαι, τούτου ἕνεκα θανάτου ὑπὸ σοῦ διώκεσθαι;
I-am-preferred of-this for-the-sake of-death by you to-be-prosecuted

III · AFTER THE VERDICT

Xenophon says more was spoken than he reports: he meant only to show that Socrates held it all-important not to seem impious or unjust, and thought death nothing to beg against. Condemned, he refused to propose a penalty or to escape. He tells the court that the false witnesses must feel their guilt, but he has no cause to think less of himself, since he did none of the things that carry death. Like Palamedes, he will be praised, since he never wronged anyone and taught his friends freely.

Ἐρρήθη μὲν δῆλον ὅτι τούτων πλείονα ὑπό τε αὐτοῦ καὶ 22
Were-said indeed clear that than-these more by both him and
τῶν συναγορευόντων φίλων αὐτῷ. ἀλλ᾽ ἐγὼ οὐ τὰ πάντα
the advocating friends for-him but I not the all
εἰπεῖν τὰ ἐκ τῆς δίκης ἐσπούδασα, ἀλλ᾽ ἤρκεσέ μοι
to-tell the-things from the trial I-was-eager but it-sufficed for-me
δηλῶσαι ὅτι Σωκράτης τὸ μὲν μήτε περὶ θεοὺς ἀσεβῆσαι
to-show that Socrates the indeed neither toward gods to-be-impious
μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς ἐποιεῖτο·
nor toward men unjust to-appear of all made-it

23 τὸ δὲ μὴ ἀποθανεῖν οὐκ ᾤετο λιπαρητέον εἶναι, ἀλλὰ
the and not to-die not he-thought must-be-begged to-be but
καὶ καιρὸν ἤδη ἐνόμιζεν ἑαυτῷ τελευτᾶν. ὅτι δὲ
even the-right-time already he-thought for-himself to-die that and
οὕτως ἐγίγνωσκε καταδηλότερον ἐγίγνετο, ἐπειδὴ ἡ δίκη
so he-judged more-evident it-became when the trial
κατεψηφίσθη. πρῶτον μὲν γὰρ κελευόμενος ὑποτιμᾶσθαι
was-decided-against first indeed for being-bidden to-propose-a-penalty
οὔτε αὐτὸς ὑπετιμήσατο οὔτε τοὺς φίλους εἴασεν, ἀλλὰ καὶ
neither himself proposed nor the friends allowed but even
ἔλεγεν ὅτι τὸ ὑποτιμᾶσθαι ὁμολογοῦντος εἴη ἀδικεῖν. ἔπειτα
said that the to-propose-a-penalty of-one-admitting was to-do-wrong then
τῶν ἑταίρων ἐκκλέψαι βουλομένων αὐτὸν οὐκ ἐφείπετο,
of-the companions to-steal-away wishing him not he-followed
ἀλλὰ καὶ ἐπισκῶψαι ἐδόκει, ἐρόμενος εἴ που εἰδεῖέν τι
but even to-jest he-seemed asking if anywhere they-knew any
χωρίον ἔξω τῆς Ἀττικῆς ἔνθα οὐ προσβατὸν θανάτῳ.
place outside — Attica where not accessible to-death

24 Ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν, Ἀλλ',
When and end had the trial to-say him But
ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας ὡς
O men those indeed instructing the witnesses that
χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ καὶ τοὺς
it-is-needful perjuring-themselves to-bear-false-witness against-me and those
πειθομένους τούτοις ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι
obeying these necessity is much for-themselves to-be-conscious-of
ἀσέβειαν καὶ ἀδικίαν· ἐμοὶ δὲ τί προσήκει νῦν μεῖον φρονεῖν
impiety and injustice for-me but why is-it-fitting now less to-think
ἢ πρὶν κατακριθῆναι, μηδὲν ἐλεγχθέντι ὡς πεποίηκά
than before to-be-condemned in-nothing convicted that I-have-done
τι ὧν ἐγράψατό με; οὔτε γὰρ ἔγωγε ἀντὶ Διὸς καὶ
any of-what he-indicted me neither for I-at-least instead-of Zeus and

Ἥρας καὶ τῶν σὺν τούτοις θεῶν οὔτε θύων τισὶ καινοῖς
Hera and the with them gods neither sacrificing to-some new
δαίμοσιν οὔτε ὀμνὺς οὔτε νομίζων ἄλλους θεοὺς ἀναπέφηνα.
divinities nor swearing nor believing-in other gods have-been-shown
τούς γε μὴν νέους πῶς ἂν διαφθείροιμι, καρτερίαν καὶ 25
the at-least moreover young how — could-I-corrupt endurance and
εὐτέλειαν προσεθίζων; ἐφ' οἷς γε μὴν ἔργοις κεῖται
frugality accustoming in what at-least moreover deeds is-laid-down
θάνατος ἡ ζημία, ἱεροσυλίᾳ, τοιχωρυχίᾳ, ἀνδραποδίσει,
death the penalty temple-robbery housebreaking enslaving
πόλεως προδοσίᾳ, οὐδ' αὐτοὶ οἱ ἀντίδικοι τούτων
of-a-city betrayal not-even themselves the opponents of-these
πρᾶξαί τι κατ' ἐμοῦ φασιν. ὥστε θαυμαστὸν ἔμοιγε
to-have-done any against me they-say so-that marvelous to-me-at-least
δοκεῖ εἶναι ὅπως ποτὲ ἐφάνη ὑμῖν τοῦ θανάτου ἔργον
seems to-be how ever appeared to-you of-the death deed
ἄξιον ἐμοὶ εἰργασμένον.
worthy by-me done
ἀλλ' οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο 26
but not-even however because unjustly I-die because-of this
μεῖον φρονητέον· οὐ γὰρ ἐμοὶ ἀλλὰ τοῖς καταγνοῦσι
less one-must-think not for for-me but for-those having-condemned
τοῦτο αἰσχρόν ἐστι. παραμυθεῖται δ' ἔτι με καὶ Παλαμήδης
this shameful is consoles and still me also Palamedes
ὁ παραπλησίως ἐμοὶ τελευτήσας· ἔτι γὰρ καὶ νῦν
the similarly to-me having-died still for even now
πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως
much finer hymns he-provides than-Odysseus the-one unjustly
ἀποκτείναντος αὐτόν· οἶδ' ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό
having-killed him I-know that also for-me it-will-be-witnessed by
τε τοῦ ἐπιόντος καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου ὅτι
both the coming and by the past time that

ἠδίκησα μὲν οὐδένα πώποτε οὐδὲ πονηρότερον ἐποίησα,
I-wronged indeed no-one ever nor worse made
εὐεργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους προῖκα διδάσκων
I-benefited and those with-me conversing for-free teaching
ὅ τι ἐδυνάμην ἀγαθόν.
what ever I-could good

IV · THE LAST WORDS

Socrates leaves the court cheerful and asks his weeping friends why they weep, since nature condemned him long ago. He jokes with Apollodorus and prophesies the ruin of Anytus' son, which comes true. Xenophon judges that Socrates won a god-favored lot and an easy death, and that whoever met a more helpful companion than Socrates is most worthy to be called blessed.

27 εἰπὼν δὲ ταῦτα μάλα ὁμολογουμένως δὴ τοῖς
having-said and these-things very consistently indeed with-the
εἰρημένοις ἀπῄει καὶ ὄμμασι καὶ σχήματι καὶ
things-said he-went-away both in-eyes and in-bearing and
βαδίσματι φαιδρός. ὡς δὲ ᾔσθετο ἄρα τοὺς παρεπομένους
in-gait bright when and he-perceived then those following
δακρύοντας, Τί τοῦτο; εἰπεῖν αὐτόν, ἢ ἄρτι δακρύετε; οὐ
weeping What (is)-this to-say him or just-now are-you-weeping not
γὰρ πάλαι ἴστε ὅτι ἐξ ὅτουπερ ἐγενόμην κατεψηφισμένος
for long-ago you-know that from when-ever I-was-born condemned
ἦν μου ὑπὸ τῆς φύσεως ὁ θάνατος; ἀλλὰ μέντοι
was against-me by the nature the death but however
εἰ μὲν ἀγαθῶν ἐπιρρεόντων προαπόλλυμαι, δῆλον ὅτι
if indeed good-things flowing-in I-perish-before clear that
ἐμοὶ καὶ τοῖς ἐμοῖς εὖνοις λυπητέον· εἰ δὲ χαλεπῶν
for-me and — for-my well-wishers there-must-be-grief if but hard-things

προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι ὡς
being-expected I-end the life I indeed think that
εὐπραγοῦντος ἐμοῦ πᾶσιν ὑμῖν εὐθυμητέον εἶναι.
faring-well me for-all you there-must-be-cheer to-be
παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς 28
being-present and a-certain Apollodorus an-admirer indeed ardently
αὐτοῦ, ἄλλως δ' εὐήθης, εἶπεν ἄρα, Ἀλλὰ τοῦτο ἔγωγε,
of-him otherwise but simple said then But this I-at-least
ὦ Σώκρατες, χαλεπώτατα φέρω ὅτι ὁρῶ σε ἀδίκως
O Socrates most-hardly bear that I-see you unjustly
ἀποθνήσκοντα. τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν
dying him and it-is-said having-stroked of-him the
κεφαλὴν εἰπεῖν, Σὺ δέ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον
head to-say You but O dearest Apollodorus rather
ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα;
— would-you-wish me to-see justly than unjustly dying
καὶ ἅμα ἐπιγελάσαι.
and at-the-same-time to-laugh
λέγεται δὲ καὶ Ἄνυτον παριόντα ἰδὼν εἰπεῖν, Ἀλλ' ὁ μὲν 29
it-is-said and also Anytus passing having-seen to-say But — indeed
ἀνὴρ ὅδε κυδρός, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος,
man this proud as great something and fine having-accomplished
εἰ ἀπέκτονέ με, ὅτι αὐτὸν τῶν μεγίστων ὑπὸ τῆς πόλεως
if he-has-killed me because him of-the greatest by the city
ὁρῶν ἀξιούμενον οὐκ ἔφην χρῆναι τὸν υἱὸν περὶ βύρσας
seeing thought-worthy not I-said it-was-needful the son in hides
παιδεύειν. ὡς μοχθηρὸς οὗτος, ἔφη, ὃς οὐκ ἔοικεν εἰδέναι
to-educate how wretched this-one he-said who not seems to-know
ὅτι ὁπότερος ἡμῶν καὶ συμφορώτερα καὶ καλλίω εἰς
that whichever of-us both more-advantageous-things and finer for
τὸν ἀεὶ χρόνον διαπέπρακται, οὗτός ἐστι καὶ ὁ νικῶν.
the all time has-accomplished this-one is also the victor

30 ἀλλὰ μέντοι, φάναι αὐτόν, ἀνέθηκε μὲν καὶ Ὅμηρος
but however to-say him attributed indeed also Homer
ἔστιν οἷς τῶν ἐν καταλύσει τοῦ βίου προγιγνώσκειν
there-are to-whom of-those in end of-the life to-foreknow
τὰ μέλλοντα, βούλομαι δὲ καὶ ἐγὼ χρησμῳδῆσαί
the-things future I-wish and also I to-prophesy
τι. συνεγενόμην γάρ ποτε βραχέα τῷ Ἀνύτου υἱῷ,
something I-associated for once briefly with-the of-Anytus son
καὶ ἔδοξέ μοι οὐκ ἄρρωστος τὴν ψυχὴν εἶναι· ὥστε
and he-seemed to-me not feeble the soul to-be so-that
φημὶ αὐτὸν ἐπὶ τῇ δουλοπρεπεῖ διατριβῇ ἣν ὁ πατὴρ
I-say him in the slavish occupation which the father
αὐτῷ παρεσκεύακεν οὐ διαμενεῖν· διὰ δὲ τὸ μηδένα
for-him has-provided not to-remain because-of and the no-one
ἔχειν σπουδαῖον ἐπιμελητὴν προσπεσεῖσθαί τινι αἰσχρᾷ
to-have serious guardian to-fall-into some shameful
ἐπιθυμίᾳ, καὶ προβήσεσθαι μέντοι πόρρω μοχθηρίας.
desire and to-advance surely far in-depravity
31 ταῦτα δ' εἰπὼν οὐκ ἐψεύσατο, ἀλλ' ὁ νεανίσκος ἡσθεὶς
these-things and having-said not he-lied but the young-man delighting
οἴνῳ οὔτε νυκτὸς οὔτε ἡμέρας ἐπαύετο πίνων, καὶ τέλος
in-wine neither by-night nor by-day stopped drinking and finally
οὔτε τῇ ἑαυτοῦ πόλει οὔτε τοῖς φίλοις οὔτε αὑτῷ ἄξιος
neither — for-his-own city nor for-the friends nor for-himself worthy
οὐδενὸς ἐγένετο. Ἄνυτος μὲν δὴ διὰ τὴν τοῦ υἱοῦ
of-anything became Anytus indeed truly because-of the of-the son
πονηρὰν παιδείαν καὶ διὰ τὴν αὑτοῦ ἀγνωμοσύνην ἔτι
wicked education and because-of — his-own unreason still
καὶ τετελευτηκὼς τυγχάνει κακοδοξίας.
also having-died happens of-ill-repute

Σωκράτης δὲ διὰ τὸ μεγαλύνειν ἑαυτὸν ἐν τῷ 32
Socrates and because-of the to-exalt himself in the
δικαστηρίῳ φθόνον ἐπαγόμενος μᾶλλον καταψηφίσασθαι
court envy bringing-on rather to-condemn
ἑαυτοῦ ἐποίησε τοὺς δικαστάς. ἐμοὶ μὲν οὖν δοκεῖ
himself he-made the jurors to-me indeed then he-seems
θεοφιλοῦς μοίρας τετυχηκέναι· τοῦ μὲν γὰρ βίου τὸ
of-a-god-favored lot to-have-obtained of-the indeed for life the
χαλεπώτατον ἀπέλιπε, τῶν δὲ θανάτων τοῦ ῥᾴστου ἔτυχεν.
hardest-part he-left of-the but deaths the easiest he-obtained
ἐπεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην· ἐπεὶ γὰρ ἔγνω 33
he-displayed and of-the soul the strength since for he-knew
τοῦ ἔτι ζῆν τὸ τεθνάναι αὐτῷ κρεῖττον εἶναι, ὥσπερ
than-the still to-live the to-be-dead for-him better to-be as
οὐδὲ πρὸς τἆλλα τἀγαθὰ προσάντης ἦν, οὐδὲ πρὸς
not-even toward the-other good-things resistant he-was not-even toward
τὸν θάνατον ἐμαλακίσατο, ἀλλ' ἱλαρῶς καὶ προσεδέχετο
the death he-grew-soft but cheerfully both he-awaited
αὐτὸν καὶ ἐπετελέσατο.
it and he-accomplished-it
ἐγὼ μὲν δὴ κατανοῶν τοῦ ἀνδρὸς τήν τε σοφίαν καὶ 34
I indeed truly considering of-the man the both wisdom and
τὴν γενναιότητα οὔτε μὴ μεμνῆσθαι δύναμαι αὐτοῦ οὔτε
the nobility neither not to-remember can him nor
μεμνημένος μὴ οὐκ ἐπαινεῖν. εἰ δέ τις τῶν ἀρετῆς
remembering not not to-praise if and anyone of-those virtue
ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ Σωκράτους συνεγένετο,
aiming-at with-a-more-helpful any than-Socrates associated
ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριστότατον νομίζω.
that I the man most-worthy-to-be-called-blessed consider